Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vhc-ac

Ἀέτιος ὁ Ἀμιδηνός · Aëtius of Amida

# Medical Book III

Ἰατρικὸν Βιβλίον Γʹ

**Period:** Ὀψιμαρχαία Late Antique
**Dialect:** Κοινὴ τεχνική Technical Koine
**Domain:** Ἰατρική Medicine
**Format:** Πραγματεία Treatise

ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ ΒΙΒΛΙΟΝ Γ Τάδε ἐστὶν ἐν τῷ Γ λόγῳ· [Start of Table] α Περὶ τρίψεως παρασκευαστικῆς β Περὶ γυμνασίων γ Περὶ τῶν εἰδῶν γυμνασίων δ Περὶ τῶν ἰδίων τρίψεων ε Περὶ ἀναφωνήσεως ς Περὶ αἰώρας ζ Περὶ ἱππασίας η Περὶ ἀφροδισίων θ Περὶ ἀμμοχωσίας καὶ τῶν ἄλλων πυριῶν ι Περὶ φλεβοτομίας ια Περὶ μέτρου κενώσεως ιβ Ποίας τμητέον φλέβας ιγ Πῶς φλεβοτομητέον ιδ Περὶ μεγέθους διαιρέσεως ιε Περὶ σχήματος διαιρέσεως ις Τίς καιρὸς φλεβοτομίας ιζ Περὶ ἐπαφαιρέσεως ιη Περὶ ἀρτηροτομίας ιθ Ἴσχαιμον δι’ ἀλόης καὶ λιβάνου κ Περὶ σικυάσεως κα Περὶ ἐγχαράξεως κβ Περὶ βδελλῶν κγ Περὶ καθάρσεως κδ Χολῆς ξανθῆς καθαρτικά κε Σκαμμωνία κς Πέπλιον κζ Ἐλλέβορος μέλας κη Περὶ τῶν χολὴν μέλαναν ἀγόντων κθ Ἐπίθυμον λ Πολυπόδιον λα Γλήχων τραγορίγανος λευκάνθεμον ἄλυσσον λβ Ἀρμένιον τὸ τῶν ζωγράφων λγ Κενταύριον λεπτόν λδ Περὶ φλεγμαγωγῶν λε Κολοκυνθίς λς Τιθύμαλλον λζ Ἴσιον λη Ἐλατήριον λθ Κνίδιος κόκκος μ Ἀγαρικόν μα Κνίκου σπέρμα μβ Λαθυρίς μγ Ἀριστολοχίας ὁ καρπός μδ Λινόζωστις με Σικύου ἀγρίου ῥίζα μς Στύραξ μζ Θύμος μη Κυκλάμινον μθ Σκόρδα ν Χαμαιπίτος να Βδέλλιον νβ Περὶ ὑδραγωγῶν νγ Λεπὶς χαλκοῦ νδ Εὐφόρβιον νε Χαμελαία νς Αἵματος καθαρτικόν νζ Μέθοδος συνθέσεως τῶν καθαιρόντων φαρμάκων νη Οἴνου χολῆς καθαρτικοῦ σκευασία νθ Οἶνος φλέγμα ἄγων ξ Οἶνος μελαγχολικοῖς ἐπιτήδειος ξα Οἶνος πολυποδίτης ξβ Οἰνόμελι ἐκκοπρωτικόν ξγ Οἰνόμελι ξανθῆς χολῆς ἀγωγόν ξδ Οἰνόμελι φλέγματος ἀγωγόν ξε Οἰνόμελι μελαίνης χολῆς ἀγωγόν ξς Κονδίτον ξανθοχόλοις ξζ Κονδίτον φλεγμαγωγόν ξη Κονδίτον μελαγχολικοῖς ξθ Ἀψινθάτου σκευασία ἐκκοπρωτικοῦ ο Ἀψινθάτον ξανθῆς χολῆς ἀγωγόν οα Ἀψινθάτον φλεγματικόν οβ Ἀψινθάτον μελαγχολικοῖς ογ Ῥοσάτον ξανθῆς χολῆς ἀγωγόν οδ Ῥοσάτον φλέγματος καὶ ὀρρώδους καὶ μελαγχολικοῦ 〈χυμοῦ〉 ἀγωγόν οε Ῥοδομέλιτος καθαρτικοῦ σκευασία ος Ὄξος καθαρτικόν οζ Ὀξύμελι καθαρτικόν οη Ἄλλο ὀξύμελι οθ Ὀξύμελι κωλικοῖς ἐνιέμενον π Ὀξύμελι πικρόν πα Φοῦσκα μαλακτικὴ κοιλίας πβ Ἄλλη φοῦσκα καθαρτικὴ δόκιμος πγ Γάρος καθαρτικός πδ Μέλι καθαρτικόν πε Ὑδρόγαρον καθαρτικόν πς Οἰνόγαρον καθαρτικόν πζ Ὀξύγαρον καθαρτικόν πη Ζωμοὶ μαλακτικοί πθ Γάλα καθαρτικόν ϟ Ἐλαῖαι καθαρτικαί ϟα Ὀξυπόριον καθαρτικόν ϟβ Ὀξυπόριον διὰ φοινίκων ϟγ Καθαρτικὸν διὰ κυδωνίων ϟδ Καθαρτικὸν διὰ κιτρίου ϟε Καθαρτικὸν διὰ μαράθρου ϟς Ἄλλο διὰ μαράθρου πάνυ

**εὐστόμαχον ϟζ Διὰ μαράθρου τὸ σκευαζόμενον ϟη Καθαρτικὸν μελαίνης χολῆς ϟθ Ἄλλο καθαῖρον μέλαιναν χολὴν καὶ ξανθήν ρ Πάστιλλον χολῆς καθαρτικόν ρα Βουκελλάτον καθαρτικόν ρβ Φλέγματος καθαρτικόν ργ Μελαγχολικοῦ χυμοῦ καθαρτικόν ρδ Κοινὸν καθαρτήριον ρε Ἀλοηδάρια διὰ ῥοδομέλιτος ρϛ Χολῆς καὶ φλέγματος ἀγωγά ρζ Ἀλοηδάρια δόκιμα ρη Ἀλοηδάρια Ὀριβασίου ρθ Ἄλλως Ὀριβασίου ρι Ἅλες καθαρτικοί ρια Καθαρτικὸν φλεγμαγωγὸν τοῦ Διογένους ριβ Ὑδραγωγόν ριγ Ἱερὰ Λογαδίου ριδ Ἱερὰ Γαληνοῦ ριε Ἱερὰ Ἀρχιγένους ριϛ Ἱερὰ ἐκ τοῦ περὶ μελαγχολίας Ῥούφου ριζ Ἱερὰ Ἰούστου ριη Ὅπως χρὴ βοηθεῖν τοῖς πιοῦσι φάρμακον καὶ μὴ καθαιρομένοις ριθ Ἐπιμέλεια τῶν ὑπερκαθαιρομένων ρκ Περὶ ἐμέτων ἐκ τοῦ Ῥούφου ρκα Σκευασία ῥαφανίδων δι’ ἐλλεβόρου λευκοῦ ρκβ Τίσι δοτέον τὸν ἐλλέβορον ρκγ Τί δύναται ποιεῖν ἐλλέβορος ρκδ Ὅτι πολλοὶ λαβόντες ἐλλέβορον οὐδὲν μὲν ἤμεσαν, ὠφελήθησαν δὲ ὡς καθαρθέντες ρκε Τίνες ἐπιτήδειοι πρὸς ἐλλέβορον ρκϛ Καιροὶ καθολικοὶ καὶ μερικοὶ εἰς ἐλλεβορισμὸν ἐπιτήδειοι ρκζ Περὶ δοκιμασίας ἐλλεβόρου ρκη Ὅπως χρὴ διαιτᾶν τοὺς μέλλοντας ἐλλεβορίζεσθαι ρκθ Πόσαι διαφοραὶ τῆς δόσεως ἐλλεβόρου ρλ Περὶ ἀποβρέγματος ἐλλεβόρου ρλα Περὶ ἀφεψήματος ἐλλεβόρου ρλβ Περὶ τοῦ ψαλιστοῦ ἐλλεβόρου καὶ κοπτομένου καὶ σηθομένου ρλγ Τίνα δεῖ προπαρασκευάζειν ἐπὶ τῆς δόσεως ρλδ Πῶς ἐπιμελητέον αὐτῶν μετὰ τὴν πόσιν ρλε Περὶ ὑπερκαθάρσεως ρλϛ Ἐπιθέματα καθαρτικά ρλζ Περὶ τῶν τοπικῶν κενώσεων ρλη Ὅσα ὀφθαλμῶν καθαρτικά ρλθ Ὤτων καθαρτικά ρμ Ὅσα ἐκ ῥινῶν καθαίρει ρμα Ὅσα ὑγρασίαν ἐκ στόματος ἕλκει ρμβ Ὅσα γάλα γεννᾷ καὶ κινεῖ ρμγ Πνεύμονος καὶ θώρακος καθαρτικά ρμδ Περὶ ὑποκαπνισμῶν ρμε Κενωτικὰ λεπτῶν ἐντέρων ρμϛ Κενωτικὰ τῶν σιμῶν τοῦ ἥπατος ρμζ Κενωτικὰ τῶν κυρτῶν τοῦ ἥπατος ρμη Σπληνὸς κενωτικά ρμθ Νεφρῶν κενωτικά ρν Κύστεως κενωτικά ρνα Ὅσα ἐντίθεται τῇ βαλάνῳ πρὸς ἐρεθισμὸν τῶν οὔρων ρνβ Λίθων κενωτικά ρνγ Ὑστέρας κενωτικά ρνδ Ὅσα πινόμενα ἄγει καταμήνια ρνε Σκυβάλων κενωτικά ρνϛ Ἑλμίνθων κενωτικά ρνζ Ἱδρώτων κενωτικά ρνη Κενωτικὰ καὶ φθαρτικὰ φθειρῶν ρνθ Περὶ κλυσμῶν ρξ Περὶ βαλάνων ρξα Περὶ κροκύδων ρξβ Περὶ ἀέρων ρξγ Περὶ ἀνέμων ρξδ Περὶ ἐπισημασιῶν τῶν κατὰ μῆνα γινομένων ρξε Περὶ ὑδάτων ρξϛ Περὶ λουτρῶν ρξζ Περὶ λουτρῶν αὐτοφυῶν ρξη Περὶ ψυχρολουσίας ρξθ Περὶ τῆς εἰς ἔλαιον ἐμβάσεως ρο Περὶ ἀποσπογγισμοῦ ροα Περὶ προσκλύσματος ροβ Περὶ καταιονήσεων ρογ Περὶ ἐγκαθισμάτων ροδ Περὶ ἐμβροχῶν ροε Περὶ πυριάσεων καταιονήσεων καταπλασμάτων καὶ σικυῶν Γαληνοῦ ροϛ Ἐκ τῶν Λύκου περὶ καταπλασμάτων ροζ Περὶ τοῦ ἐξ ἄρτου καταπλάσματος ροη Περὶ τοῦ ἐκ πιτύρων καταπλάσματος ροθ Περὶ τοῦ διὰ σύκων καταπλάσματος ρπ Περὶ δρωπάκων καὶ πιττώσεως ρπα Περὶ σιναπισμοῦ Ἀρχιγένους ρπβ Ὅτι οἱ τῶν αἰγῶν σπύραθοι μετ’ ὄξους καταπλασσόμενοι ἰδίως ἰσχιαδικοῖς ἁρμόζουσιν ρπγ Τίνα ἕτερά ἐστι φοινίσσοντα ρπδ Περὶ τῆς ἰβηρίδος ἤτοι καρδαμίνης βοτάνης ρπε Γαληνοῦ περὶ τῶν μετὰ συγκριτικῶν βοηθημάτων [End of Table]** **Ἀετίου λόγος τρίτος Περὶ ἐνιεμένων προσφερομένων καὶ περὶ ἀέρων ἀνέμων τόπων ὑδάτων φοινιγμῶν σιναπισμῶν καὶ τῶν ὁμοίων.**

1 Περὶ τρίψεως παρασκευαστικῆς. Πρὸ τῶν γυμνασίων θερμαίνειν 〈μετρίως〉 τὸ σῶμα χρὴ τρίψει τε χρωμένους τῇ διὰ σινδόνων, κἄπειτα δι’ ἐλαίου τρίβειν τε γυμναῖς ταῖς χερσίν, ἄχρις ἂν θερμανθείη καλῶς καὶ μαλαχθείη τὸ σῶμα, ἐπανθήσειέ τε ἔρευθος εὐανθὲς καὶ εἰς ὄγκον ἀχθείη τὸ τριβόμενον μόριον. Περὶ γυμνασίων. [5]

2 Κίνησις σφοδρὰ τὸ γυμνάσιόν ἐστιν· ὅρος δὲ τῆς σφοδρότητος ἡ τῆς ἀναπνοῆς ἐπὶ τὸ δασύτερον ἀλλοίωσις· τὸ δὲ γυμνάσιον δυσπαθῆ τε παρασκευάζει τὰ ὀργανικὰ μόρια καὶ εὔτονα πρὸς τὰς ἐνεργείας τήν τε τῆς τροφῆς ὁλκὴν ἰσχυροτέραν καὶ τὴν θρέψιν βελτίονα διὰ τὴν

ἐγγιγνομένην τοῖς σώμασι θερμότητα· ἐκκαθαίρει δὲ καὶ τοὺς αἰσθητικοὺς πόρους καὶ τοὺς ἀδήλους διὰ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν· ἐπεὶ οὖν τῇ ἀναδόσει συνεργεῖ, χρὴ μήτε πλῆθος ὠμῶν καὶ ἀπέπτων σιτίων μήτε χυμῶν κατὰ τὴν κοιλίαν ἢ ἐν τοῖς ἐντέροις περιέχεσθαι· κίνδυνος γὰρ αὐτοῖς ἀχθῆναι πρὸς ἅπαντα τὰ τοῦ ζῴου μόρια πρὶν χρηστοῖς γενέσθαι πεφθεῖσιν. δῆλον οὖν ὡς καὶ πρὸ τῶν σιτίων τὰ γυμνάσια παραλαμβάνειν χρή. γνώρισμα δὲ τῆς εὐκαιρίας τῶν οὔρων ἡ εὔχροια· τὸ μὲν γὰρ ὑδατῶδες οὖρον ἄπεπτον ἔτι σημαίνει τὸν ἐκ τῆς γαστρὸς ἀναδοθέντα χυμόν, τὸ δὲ πυρρὸν καὶ χολῶδες ἐκ πολλοῦ κατειργάσθαι. τὸ δὲ μετρίως ὠχρὸν ἄρτι πέψεως γεγενημένης σημεῖόν ἐστι. τηνικαῦτα γοῦν ἄγειν ἐπὶ τὰ γυμνάσια προαποθέμενον τό τε ἐν τῇ κύστει καὶ τῇ γαστρὶ περίττωμα. Περὶ τῶν εἰδῶν τῶν γυμνασίων. [15]

3 Τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ θερμότητος αὔξησις ἐγγιγνομένη τοῖς σώμασι, τὰ δὲ διὰ τῶν καθ’ ἕκαστον. τὸ μὲν εὔτονον γυμνάσιόν ἐστι τὸ βιαίως εἰς εὐτονίαν παρασκεύαζον τούς τε μῦς καὶ τὰ νεῦρα· τοιαῦτα δέ ἐστι· τὸ σκάπτειν καὶ φορτίον ἀράμενον μέγιστον ἢ κατὰ χώραν μένειν ἢ προβαίνειν μικρὰ καὶ οἷον περιπατεῖν τούτου τοῦ γένους ἐστὶ καὶ τὸ ἀναρριχᾶσθαι διὰ σχοινίου καὶ πλεῖστα ἄλλα ὁμοιότροπα. τὰ δὲ ταχέα γυμνάσια χωρὶς εὐτονίας καὶ βίας δρόμοι τέ εἰσι καὶ ἀκροχειρισμοὶ καὶ τὸ διὰ τῆς μικρᾶς σφαίρας γυμνάσιον. ὅσα δὲ εὔτονα τῶν γυμνασίων ἐστί, τούτοις ὡς σφοδροῖς ἄν τις χρῷτο κινήσεις ταχείας προστιθείς. ἔτι τῶν γυμνασίων τὰ μὲν ὀσφὺν μᾶλλον ἢ χεῖρας ἢ σκέλη διαπονεῖ, τὰ δὲ τὴν ῥάχιν ἢ τὸν θώρακα ἢ τὸν πνεύμονα μόνον. χρὴ δὲ γυμνάζεσθαι, μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα καὶ εὐανθὲς ὑπάρχῃ, καὶ αἱ κινήσεις ἕτοιμοί τε ὁμαλῶς καὶ εὔτονοι γίγνωνται. ἐν τούτῳ δὲ καὶ ἱδρώτια θεάσῃ θερμὰ ἀτμῷ συμμιγῆ· παυέσθω δὲ τηνικαῦτα πρῶτον ἐπειδάν τι τῶν εἰρημένων ἀλλοιωθῇ, οἷον εἰ φανείη συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν· ὡσαύτως καὶ εἰ τὸ τῆς χρόας εὐανθὲς μαραίνοιτο, παύεσθαι. καὶ μὲν δὴ καὶ τὸ τῶν κινήσεων εὐανθὲς ἐπειδὰν ἐνδιδόναι που φαίνοιτο, καταπαύειν αὐτίκα· καὶ εἰ περὶ τὸν ἱδρῶτα φαίνοιτό τις ἢ κατὰ πλῆθος ἢ κατὰ ποιότητα μεταβολή· ἐὰν γὰρ ἐλάττων ἢ ψυχρότερος γίγνηται, καταπαύειν καταχέοντα τὸ ἔλαιον ἀποθεραπεύειν τε τοὐντεῦθεν, εἶθ’ ἑξῆς τῇ ἀποθεραπευτικῇ τρίψει χρῆσθαι, ὡς εἰώθασιν οἱ παιδοτρίβαι ποιεῖν. Περὶ τῶν ἰδίων τρίψεων. [20]

4 Τῶν τρίψεων ἡ μὲν σκληρὰ δεῖ τὰ σώματα, ἡ δὲ μαλακὴ λύει· ὥστε ὅσα ἐκλύεται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον, ὅσα δ’ ἔσφιγκται, μαλακῶς· εἰ δέ τι συμμέτρως ἔχει, εὔδηλον ὡς οὔτε μαλακῶς οὔτε σκληρῶς, ἀλλ’ ὅσον οἷόν τε, τὰς ὑπερβολὰς ἑκατέρας φυλαττόμενον· ἡ δὲ πολλὴ τρῖψις τὴν ἰσχνότητα παρέχεται, ἡ δὲ μέση τὴν συμμετρίαν. Περὶ ἀναφωνήσεως. [5]

5 Γυμνάσιόν ἐστι θώρακος καὶ τῶν φωνητικῶν ὀργάνων ἡ ἀναφώνησις καὶ πρό γε τούτων τῆς φυσικῆς θερμασίας, 〈τὴν μὲν θερμασίαν αὔξουσα〉 καὶ καθαίρουσα καὶ λεπτύνουσα καὶ τονοῦσα, τά τε τοῦ σώματος μέρη στερεὰ καὶ εὔτονα καὶ δυσπαθῆ κατασκευάζουσα. χρῶ δὲ ἀναφωνήσει ἐπὶ ἀσθματικῶν ὀρθοπνοικῶν φθισικῶν καὶ ἀλγημάτων χρονίων περὶ τὸ στέρνον γιγνομένων ἢ τὸ μετάφρενον καὶ ἐπὶ ἀποστημάτων ἐν θώρακι μετὰ τὴν ῥῆξιν καὶ ἐπὶ βραγχώδους φωνῆς τῆς διὰ πλείστην ὑγρότητα γιγνομένης· καὶ ἐπὶ τεταρταϊζόντων πυρετῶν ἁρμοδιωτάτη, ἐκμοχλεύουσα τὸν πεπηγότα χυμὸν ἀλλὰ καὶ διὰ τὴν ὑγρότητα τοῦ στομάχου, ἣν ἰδίως αὐτὸς ὁ τεταρταῖος τύπος ἐπιφέρει. ἁρμόζει δὲ καὶ στομαχικοῖς, μάλιστα δὲ τοῖς συνεχῶς ἐμοῦσι καὶ ὀξυρεγμιώδεσι, τοῖς δὲ περὶ κεφαλὴν πάθεσιν ἀνάρμοστος. δεῖ δὲ τὸν μέλλοντα ἀναφωνεῖν, κοιλίας ἀποδεδωκυίας τριψάμενον ἡσυχῇ, τὰ κάτω μέρη καὶ τὸ πρόσωπον ἀπονιψάμενον προδιαχυθέντα, ἠρέμα προλαλήσαντα, μέτρια διαστήσαντα ἐκ τῶν ὕπνων καὶ περιπατήσαντα, οὕτως ἐπὶ τὰ τῆς ἀναφωνήσεως παραγενέσθαι. ἐν δὲ ταῖς ἀναφωνήσεσιν ἡ εὐμέλεια καὶ χρηστοφωνία οὐδὲν ἂν συμβάλλοιτο πρὸς ὑγείαν, ὁ δὲ τῶν βαρυτέρων φθόγγων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦχος χρήσιμος, ὥστε τοῦτον ἀσκητέον. οὕτω γὰρ πλεῖστος ἀὴρ κατὰ τὴν ἀναπνοὴν ἑλκόμενος διαστέλλει τόν τε θώρακα καὶ τὴν κοιλίαν καὶ τοὺς καθ' ὅλον τὸ σῶμα πόρους ἀνευρύνει καὶ διίστησι. διόπερ ἐν ταῖς ἀναφωνήσεσιν ἢ συντόνοις ἀναγνώσεσι τῶν πλεοναζόντων ὑγρῶν ποιεῖται τὰς ἐκκρίσεις, τοῖς μὲν συντονώτερον ἀναγιγνώσκουσι μᾶλλον καὶ δι' ἱδρώτων, τοῖς δὲ ἐπιεικέστερον ἐντεινομένοις διὰ τῆς ἀδήλου διαπνοῆς· καθ' ὅλον γὰρ τὸν ὄγκον τοῦ σώματος ἡ τάσις γίγνεται ἐν τοῖς ἀναγνώσμασι καὶ ταῖς ἀναφωνήσεσι. συμβαίνει δὲ διὰ τὸν ἐκ τῆς κινήσεως γιγνόμενον λεπτυσμὸν πολλῶν πτυσμάτων ἀναχρεμπτομένων καὶ μύξης καὶ φλέγματος ἔκκρισιν γενέσθαι. τοῖς γε μὴν θερμασίας δεομένοις διὰ ψυχρότητα τίς ἂν ἄλλη προσφορωτέρα γένοιτο βοήθεια τῆς κατὰ τὴν ἀναπνοὴν ἐνεργείας; δεῖ τοίνυν ἀναγιγνώσκειν πολλάκις ἀνιέντας ἅπαν τὸ σῶμα καὶ κεχυμένης τῆς σαρκὸς εἰς ἀραίωσιν τοῦ σώματος, διιστάντας ἐπίτηδες τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος καὶ τὰς βαρυτάτας φθέγγεσθαι φωνὰς εὐμελεῖς. χρηστέον δὲ ταῖς τῆς φωνῆς ἐνεργείαις οὔτε εἰκῇ οὔτ' ἀπερισκέπτως, ἀλλὰ μήτε φαύλων καὶ διεφθαρμένων ὑγρῶν μεστοὺς ὄντας μήτε ἐπὶ μεγάλαις καὶ φανεραῖς ἀπεψίαις πρὸς τὸ διὰ τῆς φωνῆς γυμνάσιον ἀφικνεῖσθαι, ὅπως ἂν μὴ πλείων ἀνάδοσις τῶν διεφθαρμένων χυμῶν ἢ ἀτμῶν εἰς τὸ σῶμα γένηται. Περὶ αἰώρας. [35]

6 Τὰ μὲν ἄλλα γυμνάσια ἐπὶ τῇ τοῦ σώματος κινήσει κεῖται, ἡ δὲ αἰώρα συμμιγής ἐστιν ἔκ τε κινήσεως καὶ σχέσεως, τῶν μὲν πλείστων μερῶν τοῦ σώματος ἀτρεμεῖν δοκούντων, παντὸς δὲ ὑπὸ τῆς φορᾶς κινουμένου· ἐντεῦθεν ὠφελιμώτατόν τε καὶ προσηνέστατον γυμνάσιον ἡ αἰώρα, οὔτε κόπον ἐμποιοῦσα τοῖς σώμασι, κινοῦσά τε αὐτὰ σχεδὸν παραπλησίως τοῖς μεγάλοις γυμνασίοις. δύναται δὲ αἰώρα πᾶσα ῥιπίζειν τε καὶ ἐπεγείρειν τὸ ἔμφυτον θερμὸν σκορπίζειν τε πλῆθος ὕλης καὶ τονοῦν τὴν ἕξιν καὶ ἐπεγείρειν τὰ ναρκηκότα τῶν ἐνεργημάτων. διαφοραὶ δὲ αἰώρας πλεῖσται μέν, ἰδίως δὲ αὗται· ἡ μὲν ἐπὶ κλίνης ἢ κρεμαμένης ἢ ὑπόβαθρα ἐχούσης κατὰ τοὺς γωνιαίους πόδας, ἡ δὲ ἐν φορείῳ (διπλῆ δὲ καὶ ἥδε, ἤτοι καθεζομένων τῶν αἰωρουμένων ἢ κατακειμένων) ἢ ἐπὶ ζεύγους ἢ ἐν πλοίῳ. θετέον δὲ ἐν αἰώρας μέρει καὶ τὴν ἱππασίαν. τῇ μὲν οὖν ἐπὶ κλίνης αἰώρᾳ χρηστέον ἐπὶ πυρεσσόντων ἢ χρονίαν νόσον νοσούντων, ἐν ᾗ συντακέντα τὰ σώματα οὐ μάλα ὀρθοῦσθαι δύναται, ἐπί τε τῶν ἀπὸ πυρεκτικῆς κακοπαθείας ἄρτι ἀρχομένων ἀναλαμβάνειν, καὶ ἐπὶ τῶν ἐλλεβοριζομένων. χρηστέον δὲ αὐτῇ καὶ ἐπὶ τῶν φρενιτικῶν. ἠρέμα γὰρ καταπραΰνει τὴν ταραχὴν τοῦ πνεύματος καὶ εἰς ὕπνον προσκαλεῖται. χρηστέον δὲ κἀπὶ τῶν ληθαργικῶν καὶ ἐπὶ ἀνορέκτων· ἐν φορείῳ δὲ κατακειμένους αἰωροῦμεν ληθαργικῷ πυρετῷ συνεχομένους καὶ ἡμιτριταικῷ καὶ ἀμφημερινῷ, ὑδερικοὺς ἀποπλήκτους παρέτους νεφριτικοὺς ποδαγρικούς· καθεζομένους δὲ ἐν φορείῳ αἰωροῦμεν τοὺς ἐν ἀνέσει εἰλικρινεῖ τῶν πυρετῶν γενομένους. ἡ δὲ ἐπὶ ζεύγους αἰώρα μοχλευτικόν τι ἔχει καὶ κινητικὸν τῶν χρονιωτάτων νοσημάτων. ἐστὶ δὲ καὶ ταύτης ἡ μὲν σφοδροτέρα ἡ δὲ ἠπιωτέρα. τῇ μὲν οὖν ἠπιωτέρᾳ χρηστέον ἐπὶ τῶν περὶ τὴν κεφαλὴν διαθέσεων καὶ τῶν τὰ ἔντερα ῥευματιζομένων, τῇ δὲ σφοδροτέρᾳ ἐπὶ τῶν κατὰ θώρακα καὶ στόμαχον παθῶν, ἐπί τε οἰδημάτων καὶ ὑδρωπικῶν καὶ ἀποπλήκτων. τοὺς δὲ σκοτωματικοὺς καὶ ἡμικρανικοὺς ἀπεστραμμένους εἰς τοὐπίσω τῆς ὁδοιπορίας δεῖ καθίζειν ἐπὶ τῷ ζεύγει καὶ ἠρέμα κινεῖν· πολλοὺς γὰρ ἴσμεν θεραπευθέντας τούτῳ τῷ τρόπῳ, μηδενὸς τῶν ἄλλων βοηθημάτων προσδεηθέντας. δεῖ δὲ ὑπτιωτέραν ἐπ' αὐτῶν εἶναι τὴν καθέδραν. ἡ δὲ διὰ πλοίου αἰώρα ἡ μὲν παρὰ γῆν γιγνομένη καὶ ἐν ἀκύμονι θαλάσσῃ ἁρμόζει ὑδρωπικοῖς ἐλεφαντιῶσιν ἀποπλήκτοις παρῳδηκόσιν. στόμαχον δὲ κατ' ἀρχὰς μὲν ἀνατρέπει, μικρὸν δὲ ὕστερον ἐν ἔθει γίγνεται. ἡ δὲ διαπόντιος αἰώρα σφοδροτάτη ἐστίν, μεταβολάς τε πλείστας καὶ μεγίστας ἐργάζεται τῆς ψυχῆς, συμμιγὴς οὖσα ἔκ τε ῥαθυμίας καὶ φόβου καὶ κινδύνου, ποτὲ μὲν χαιρόντων ποτὲ δὲ ἀγωνιώντων τῶν πλεόντων· πάντα δὲ ταῦτα συντιθέμενα ἱκανά ἐστι πᾶσαν χρονίαν νόσον ἐκμοχλεῦσαί τε καὶ ἐξαγαγεῖν τοῦ σώματος· καὶ μέντοι καὶ τὸ συμμιγὲς ἔκ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκινησίας ἔκ τε τῆς κινήσεως τοῦ σώματος εὐτροφίας, εἴ τι καὶ ἄλλο, ποιητικώτατόν ἐστιν. Περὶ ἱππασίας. [40]

7 Ὀλίγη χρῆσις τῆς ἱππασίας ἐπὶ τῶν νοσούντων ἐστίν. οὐ πολλὴν γὰρ ὠφέλειαν τὸ ἔργον παρέχεται, εἰ μὲν γὰρ ἠρέμα ἐλαύνοιτο ὁ ἵππος, οὐδὲν ἄλλο ἐργάζεται πλὴν κόπου καὶ μάλιστα βουβώνων κατὰ τὴν ἔκπτυξιν τῶν σκελῶν τε καὶ τὴν ἀποκρέμασιν, εἰ δὲ ἀποδιώκοιτο ὁ ἵππος, κλονεῖ ἅπαν τὸ σῶμα ἐπιπόνως, ὅμως δὲ καὶ οὗτος ὁ τρόπος ἔχει τι χρήσιμον ἐπὶ τῶν ἰσχυόντων. τονοῖ γὰρ ὑπὲρ πάντα τὰ ἄλλα γυμνάσια καὶ πνεῦμα καὶ σῶμα, μάλιστα δὲ στόμαχον, καθαίρει δὲ καὶ τὰ αἰσθητήρια καὶ ὀξύτερα ἐργάζεται· θώρακι δὲ κάκιστον τὸ γυμνάσιον τοῦτο. ἐπὶ πάσης δὲ αἰώρας καὶ παντὸς γυμνασίου χρὴ μάλιστα φροντίδα τίθεσθαι ἐν ὑγιεινῷ χωρίῳ ἐπιτελεῖσθαι καὶ ἀέρι καθαρῷ καὶ οὐ μόνον τὰ ἄλλα γυμνάσια ἀλλὰ καὶ τὰ διὰ πλοίου. Περὶ ἀφροδισίων ἐκ τῶν Ῥούφου. [10]

8 Φυσικὸν μὲν ἔργον ἡ συνουσία ἐστίν, οὐδὲν δὲ τῶν φυσικῶν βλαβερόν· παρὰ δὲ τὴν ἄμετρόν τε καὶ συνεχῆ χρῆσιν καὶ κατὰ καιρὸν τὸν οὐ προσήκοντα παραλαμβανομένη βλαβερὰ γίγνεται, πολλῷ δὲ μᾶλλον βλαβερὰ ἡ συνεχὴς χρῆσις γίγνεται τοῖς τὸ νευρῶδες ἀσθενὲς ἔχουσιν ἢ θώρακα ἢ νεφροὺς ἢ ὀσφὺν ἢ ἰσχιάδα ἢ πόδας. ἔστω δέ σοι τεκμήρια καὶ τάδε· σύμπασα γὰρ ἡ ἰσχὺς τοῦ ἀνθρώπου ἀσθενεστέρα γίγνεται ἐν τῇ χρήσει· ἡ δὲ ἰσχύς ἐστι τὸ ἐν ἡμῖν ἔμφυτον θερμόν· ὅθεν αἱ πέψεις οὐκ ἀγαθαὶ τῷ μισγομένῳ καὶ ἔξωχροι γίγνονται καὶ οὔτε δεόντως ὁρῶσιν οὔτε ἀκούουσιν, ὡς χρή, οὐδὲ ἄλλην τινὰ αἴσθησιν ἐρρωμένην κέκτηνται καὶ μὲν δὴ καὶ ἐπιλήσμονες οἱ τοιοῦτοι καὶ τρομώδεις εἰσὶ καὶ τὰ ἄρθρα ὀδυνηροί, μάλιστα τὰ τῶν ἰσχίων, καὶ οἱ μὲν νεφριτικοὶ γίγνονται, οἱ δὲ καὶ κατὰ κύστιν νόσημα ἔχουσιν, τοῖς δὲ καὶ στόματα ἀφθώδη γίγνεται καὶ ὀδόντων πόνοι καὶ γαργαρεώνων φλεγμοναί· πολλοὶ δὲ ἄνδρες ἐπὶ τοῖς πολλοῖς ἀφροδισίοις καὶ αἷμα ἔπτυσαν, τὸ μέν τι τῇ βιαίῳ κατοχῇ τε καὶ ἐντάσει τοῦ πνεύματος, τὸ δέ τι τῇ κοινωνίᾳ τῶν ἀπὸ τοῦ θώρακος ἐπὶ τοὺς ὄρχεις φερομένων φλεβῶν καὶ ἀρτηριῶν. γυνὴ δὲ ἥκιστα ἐπὶ ταῖς μίξεσι πτύει αἷμα τῇ τε ἄλλῃ τοῦ σώματος ὑγρότητι καὶ τῷ ἧσσον πονεῖσθαι ἐν τῇ μίξει, καὶ διὰ τὰς εἰωθυίας κάτω καθάρσεις, ὥστε κἂν τύχῃ γυναῖκα πτύσαι αἷμα, μέγα ἴαμα αἱ καθάρσεις αὐτῇ γίγνονται. διὰ ταῦτα μὲν δὴ τὰ εἰρημένα παρακελεύονται τῶν ἰατρῶν οἱ ἀγαθοί, ἥν τε πάρεστι τι τῶν εἰρημένων νοσημάτων, ἥν τε προσδόκιμον ᾖ διὰ τὴν φυσικὴν ἀσθένειαν τοῦ ἀνθρώπου, ἀπέχεσθαι τῶν ἀφροδισίων. ἄχρι μὲν δὴ τούτων τὰς βλάβας καὶ τὰς συμπαθείας, ἐφ’ ὅσον δυνατὸν ἦν ἡμῖν διὰ βραχέων εἰπεῖν, εἰρήκαμεν· ῥητέον δὲ νῦν καὶ τὰς ὠφελείας· οὐ γὰρ παντάπασι κάκιστα τὰ ἀφροδίσιά ἐστιν, ἐὰν καὶ τὸν καιρὸν τῆς χρήσεως καὶ τὸ μέτρον καὶ τὴν ὑγιεινὴν κατάστασιν τοῦ χρωμένου σκοπεῖν ἐθέλοις. ὠφέλειαι δὲ αἱ ἐκ τῶν ἀφροδισίων εἰσὶν αἵδε· πλησμονήν τε κενῶσαι καὶ ἐλαφρὸν παρασχεῖν τὸ σῶμα καὶ εἰς αὔξησιν προτρέψαι καὶ ἀνδρωδέστερον ἀποφῆναι. καὶ τῇ δὲ σκληρᾷ ἕξει ἐκ διαλειμμάτων πλειόνων ἡ χρῆσις ὠφέλιμος· μαλάσσει γὰρ τὰ ὄργανα καὶ ἀνευρύνει τοὺς πόρους καί τι τοῦ φλέγματος ἐκκαθαίρει, καὶ συνεστηκότα δὲ λογισμὸν διαλύει καὶ ὀργὰς μεγίστας ἐπανίησι. διὸ καὶ τῷ μελαγχολικῷ καὶ κατηφεῖ καὶ μισανθρώπῳ ὄντι ὥς τι μέγιστον ἴαμα ἐπιτηδειότατον μίσγεσθαι. καθίστησι δ’ εἰς τὸ σωφρονέστερον καὶ τοὺς κατ’ ἄλλον τρόπον ἐκμανέντας καί τινας ἐπιλήπτους ἔπαυσε καὶ βαρυνομένους τὴν κεφαλὴν καὶ ἀλγοῦντας μεταβολῇ τοῦ ἡβάσκειν. Ἱπποκράτης δὲ ἑνὶ λόγῳ “τοῖς ἀπὸ φλέγματος νοσήμασιν εἶναι κράτιστα” ἀφροδίσια ἔφη. πολλοὶ δὲ καὶ ἐκ νόσων ἄτροφοι ἀνεκομίσθησαν ἐπὶ τῇ χρήσει· οἱ δὲ καὶ εὐπνούστεροι ἀντὶ δυσπνουστέρων ἐγένοντο, καὶ εὐσιτότεροι ἀντὶ ἀποσίτων· οἱ δὲ καὶ ὀνειρωγμῶν συνεχῶν ἀπηλλάγησαν. φύσεις δὲ πρὸς ἀφροδίσια ἐπιτήδειοι αἱ θερμότεραι καὶ ὑγρότεραι καὶ πλέον τῶν ἄλλων εἰς τὴν χρῆσιν εὔφοροι, ἥκιστα δὲ αἱ ξηραὶ καὶ ψυχραὶ καὶ ἡ μὲν τῶν ἀκμαζόντων εὔθετος, ἡ δὲ τῶν γερόντων οὐδαμῶς. ὥρα δὲ τὸ μὲν ἔαρ ἐπιτήδειον. ἄθετον δὲ τὸ φθινόπωρον καὶ τὸ θέρος. ἀλλ’ οὐδὲ ὁ χειμών ἐστιν ἀγαθὸς τῷ ψύχειν. καὶ δὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίαιτα ἡ θερμοτέρα καὶ ὑγροτέρα εἰς λαγνείαν εὔφορος, δύσφορος δὲ ἡ ξηραίνουσα καὶ ψύχουσα. αἱ γὰρ δίαιται πρὸς μίξεις τῷ ἀδυνάτῳ μίσγεσθαι ἐπιτήδειοι.

8 (50) χρὴ τοίνυν τὴν μὲν δίαιταν ὑγρὰν καὶ θερμὴν ὑπάρχειν· εἴη δ’ ἂν πόνων μὲν μετριότης καὶ σίτου εὐωχία. οἶνος μὲν οὖν ἔστω κιρρὸς τῇ χροιᾷ, λεπτὸς δὲ τῇ συστάσει, ἄρτοι καθαροὶ ἰπνῖται πρόσφατοι, κρέα ἐρίφων καὶ ἀρνῶν καὶ χοίρων, πτηνὰ ἀλεκτορίδες ἀτταγῆνες πέρδικες χῆνες νῆσσαι· ἰχθύων δὲ οἱ πολύποδες καὶ ὅσα μαλακόσαρκα λέγεται· λαχάνων δὲ ὅρμινον ἐρύσιμον εὔζωμον γογγυλὶς δύσεφθος καὶ τακερὰ γενομένη (ταῦτα γὰρ καὶ ὡς φάρμακα δίδοται), ὀσπρίων δὲ κύαμοι ἐρέβινθοι ὦχροι φάσιλοι πισσοὶ λοβοὶ πνεύματός τε ἐμπιπλῶντες καὶ ἀφθονίαν τροφῆς παρασκευάζοντες. μεγάλως δὲ ἐπαινῶ καὶ τὴν καλλίστην σταφυλὴν εἰς τὴν νῦν δίαιταν· ὑγραίνει γὰρ καὶ αἵματος καὶ πνεύματος ἐμπίπλησι τὸ σῶμα. τὸν δὲ μέλλοντα ἀφροδισίοις χρῆσθαι πλησμονὰς προσφάτους φυλάττεσθαι χρὴ καὶ ἀπεψίας καὶ μέθας καὶ ἐνδείας. κακὸν γὰρ ἐπὶ περιττώμασι μίσγεσθαι καὶ ἀπὸ γυμνασίων καὶ λουτρῶν καὶ κόπους δὲ φυλακτέον καὶ ἐμέτους γεγενημένους καὶ διαρροίας γαστρὸς προσφάτους. τὰς γὰρ χρονίους ἐστὶν ὅτε ξηραίνει τὰ ἀφροδίσια. κάλλιστον δὲ τὸν μισγόμενον ἐπὶ σίτοις μίσγεσθαι μὴ ἐμπλησθέντα· καὶ γὰρ πρὸς ἰσχὺν συμφέρει καὶ αἱ γιγνόμεναι ψύξεις ἧσσον γίγνονται καὶ εἰ μὲν ἐπὶ τῷ ἀρίστῳ τις προθυμηθείη, ἀναπαύσασθαι χρὴ μέχρι καταστῇ τὸ σιτίον, εἰ δὲ ἐπὶ τῷ δείπνῳ ὑπνοῦν ἀνάγκη πρὸς ὀλίγον. καὶ τὰς σφοδρὰς δὲ ἐπιθυμίας οὐκ ἐπαινῶ ἀλλὰ κελεύω δὴ πλέον ἀντέχειν καὶ μᾶλλον οἷς νόσημά ἐστι ῥᾷον ἐκ τῆς χρήσεως βλαπτόμενον. Περὶ ἀμμοχωσίας καὶ τῶν ἄλλων πυριῶν ἐκ τῶν Ἀντύλλου.

9 Ἡλίῳ παρέχουσιν ἑαυτοὺς οἱ μὲν ἀνήλειπτοι οἱ δὲ ἀληλιμμένοι καὶ οἱ μὲν καθήμενοι ἢ κατακείμενοι οἱ δὲ ἑστῶτες ἢ περιπατοῦντες ἢ τρέχοντες καὶ τῶν κατακειμένων οἱ μὲν ἐπὶ στρωμνῆς οἱ δὲ ἐπὶ δέρματος οἱ δὲ ἐπὶ ψάμμων ἢ ἁλῶν. ἡ μὲν οὖν χωρὶς ἀλείμματος ἐπίκαυσις σύμμετρος δὲ παραλαμβανομένη τὴν μὲν ἄδηλον διαπνοὴν ἐπιτείνει καὶ ἱδρῶτας ἐξάγει, κοιλίαν δὲ ἵστησι καὶ σαρκὸς μὲν συντηρητικὴ πιμελῆς δὲ καθαιρετικὴ καὶ οἰδημάτων τῶν τε ἄλλων καὶ μάλιστα τῶν ὑδρωπικῶν κατασταλτική. πνεῦμα δὲ δασύτερον καὶ παχύτερον ἐργάζεται καὶ διὰ τοῦτο ἄσθματος καὶ ὀρθοπνοίας παροξυντική. κεφαλῇ δὲ χρονίως ἐψυγμένῃ ὠφέλιμος· δυσπαθῆ γὰρ αὐτὴν καὶ στερεὰν ἀπεργάζεται. δεῖ μέντοι προκενοῦν τὴν κοιλίαν ἐπὶ τούτων· μὴ προγενομένης γὰρ κάτω κενώσεως πολέμιος ἡ ἡλίωσις κεφαλῇ. ἡ δὲ μετὰ λίπους ἡλίωσις τὰ μὲν ἄλλα ταὐτὰ δύναται. ξηραίνει δὲ τὸ σῶμα μᾶλλον ὥσπερ ἐποπτώμενον τῷ λίπει· διὸ καὶ μᾶλλον μελαίνει τὴν ἐπιφάνειαν. διὰ δὲ τῆς ἀδήλου διαπνοῆς ἧσσον διαφορεῖ καυτηρίοις παραπλησίως πυκνοῦσα τὴν σάρκα, οἱ δὲ καθήμενοι ἢ ἑστηκότες σφοδρότερον ἐπικαίονται τῶν περιπατούντων καὶ μᾶλλον τῶν τρεχόντων. κατακείμενοι δὲ ἐπὶ στρωμνῆς οὐ μέγα ὀνίνανται ἀλλὰ καὶ πληροῦνται μᾶλλον τὴν κεφαλήν. ἐπὶ δέρματος δὲ πυριώμενοι μεγάλως ὠφελοῦνται οἵ τε ὑδρωπικοὶ καὶ ἰσχιαδικοὶ νεφριτικοὶ πάρετοι ἐλεφαντιώδεις παρῳδηκότες κατὰ τὰς ἀναλήψεις κοιλιακοί τε καὶ οἱ περὶ κύστιν χρόνιον ἔχουσι νόσημα, ἀπόπληκτοί τε καὶ αἱ ὑστερικῶς πνιγόμεναι καὶ ἔτι μᾶλλον αἱ ὑπὸ λευκοῦ ῥοῦ ἐνοχλούμεναι. δεῖ δὲ εὐμέγεθες εἶναι τὸ δέρμα καὶ ἐλαίῳ ἀληλίφθαι αὐτὸ καὶ ἐστρῶσθαι ἐπὶ ψάμμου λεπτῆς σεσεισμένης καὶ προθερμανθέντι τῷ δέρματι κατακλίνειν τὸν πάσχοντα ἐσκεπασμένον τὴν κεφαλὴν ὠμολίνῳ, μείναντα δὲ ἐφ’ ἑνὶ σχήματι ἐπὶ πολύ, ἐπειδὰν ἱκανῶς ἐκπυρωθῇ τὸ σῶμα, στρέφεσθαι κελεύειν κυλιόμενον καὶ πάλιν ἐπὶ τὸ ἄλλο πλευρὸν ἐκταθέντα ἡσυχάζειν, καὶ τοῦτο ποιεῖν πλεονάκις. ὁ αὐτὸς δὲ τρόπος καὶ ἐπὶ ψάμμου παραλαμβανέσθω ἀλλασσομένου συνεχῶς τοῦ τόπου· δεῖ ὑπηρέτην παρεῖναι καὶ θερμοτάτην ψάμμον ἀναλέγοντα ἐπιβάλλειν τῷ σώματι τοῦ κεχωσμένου. εἰ μὲν οὖν θάλασσα παρείη, χρηστέον τῇ ψάμμῳ αὐτῆς· καὶ γὰρ προσηνεστέρα καὶ ξηραντικωτέρα ἡ διὰ τῆς ψάμμου πυρία τῆς διὰ τοῦ δέρματός ἐστιν. εἰ δὲ ποτάμιος εἴη ἡ ψάμμος, μᾶλλον τῷ δέρματι χρηστέον. καὶ γὰρ ἡ ποταμία ψάμμος καὶ οἱ ἀέρες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑγρότεροί εἰσιν ἐκ τῶν ἀναθυμιάσεων. ἀφθονίας δὲ οὔσης ἁλῶν πολὺ βέλτιόν ἐστι λεπτῶν ἁλῶν ὑποκειμένων κατακλίνειν· δεῖ δὲ τὸ βάθος οὐκ ἔλαττον εἶναι τριῶν παλαιστῶν, ἂν γὰρ μὴ ὦσι βαθεῖς, εὐδιάπνευστος ἡ ἀπ’ αὐτῶν θερμασία γίγνεται, ἅτε δὴ ἀνάδοσιν ἐκ βάθους οὐκ ἔχουσα. Περὶ φλεβοτομίας ἐκ τῶν Γαληνοῦ. [40]

10 Ὑπὸ μὲν τῶν ὁμοιομερῶν τοῦ σώματος ἐδείχθησαν διὰ τῶν ἄλλων πραγματειῶν αἱ πρῶται τῶν ἐνεργειῶν ἐπιτελούμεναι, διὰ δὲ τῶν ὀργανικῶν αἱ δεύτεραι. σκεπτέον τοίνυν τὰ κατὰ τὸ σῶμα περιεχόμενα τῶν ὑγρῶν ἥν τινα ὠφέλειαν ἢ βλάβην ἐργάζεται τοῖς μορίοις αὐτοῦ, δι’ ὧν τὰς ἐνεργείας ποιεῖται. τὸ δὲ ἀθροιζόμενον πλῆθος διττῶς λέγεται· ἢ γὰρ πρὸς δύναμιν λέγεται τὸ πολύ, ἢ πρὸς τὴν εὐρυχωρίαν τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων. καθάπερ γὰρ ὁ τὸ φορτίον βαστάζων οὐκ εὐθὺς ἅμα τῷ βαρύνεσθαί τε καὶ κάμνειν ἤδη καταπέπτωκέ τε καὶ νενίκηται πρὸς αὐτοῦ, κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ πλήθους βαρύνηται, δυνατόν ἐστιν ἀντέχειν αὐτὴν ἐπὶ πολὺ καὶ μηδέπω νοσεῖν τὸν ἄνθρωπον. ἐπὶ πλέον δὲ ἀμεληθέντι καταπίπτει ἡ δύναμις. τούτους μὲν οὖν μεγάλως ὀνίνησιν ἡ φλεβοτομία πρὶν νικηθῆναι τὴν δύναμιν καὶ μὴ ὑποκειμένου δὲ ἐν τῷ σώματι πλήθους αἵματος ὠφέλιμος ἡ φλεβοτομία γίγνεται ἀρχομένης φλεγμονῆς ἢ διὰ πληγήν τινα προηγησαμένην ἢ διὰ τὴν ἀσθένειαν τοῦ μορίου, χυμῶν ἀθρόως ἐκ τοῦ σώματος εἰς αὐτὸ ἐνεχθέντων. ἐνίοτε γὰρ ἀθρόως ἐπί τι μόριον παραγιγνόμενον τὸ αἷμα ἤτοι ἐνάρκωσεν, ὡς διαφθαρῆναι τὴν ἐνέργειαν αὐτοῦ, ἢ βλάβην ἀξιόλογον ἤνεγκεν, ὡς ἐπὶ τῆς ἀποπληξίας ὁρῶμεν γιγνόμενον. ἐστὶ δὲ ὅτε ἀγγεῖον διαρρήγνυσιν, ὡς ἐπὶ τῶν αἱμοπτυικῶν συμβαίνει· πειρᾶσθαι οὖν χρὴ [πλεονάσαν τὸ αἷμα] κενοῦν αὐτὸ διὰ ταχέων, πρὶν ἄρξασθαί τι μέγα κακὸν ἐργάσασθαι περί τινα τῶν μορίων τοῦ σώματος. παραληπτέον δὲ τὴν φλεβοτομίαν καὶ νοσήματος μεγάλου προσδοκωμένου· ἔγωγ’ οὖν πολλοὺς τῶν ποδαγρικῶν ἐτῶν ἤδη τριῶν ἢ τεσσάρων ἐνοχλουμένους ἀλγήμασιν ἐκ διαλειμμάτων ἰασάμην, ἤτοι καθαίρων τὸν πλεονάζοντα χυμὸν ἐν ἀρχῇ τοῦ ἦρους ἢ αἵματος ἀφαιρῶν. καὶ γὰρ ποδαγρικοῖς καὶ ἀρθριτικοῖς ἐπιληπτικοῖς τε καὶ μελαγχολώδεσιν ἢ αἷμα πρόσθεν ἐπτυκόσι σκοτωματικοῖς τε ἢ συνεχῶς ἁλισκομένοις κυνάγχαις ἢ περιπνευμονίαις ἢ πλευρίτισιν ἢ ὀφθαλμίαις σφοδραῖς ἢ καθόλου φάναι μεγάλῳ νοσήματι περιπίπτουσι συνεχῶς, τὴν φλεβοτομίαν ἀναγκαιοτέραν ἁπάντων εἶναί φημι. σκοπητέον δὲ ἐπὶ πάσης φλεβοτομίας τήν τε τοῦ πλήθους ποσότητα καὶ ποιότητα, μέγεθός τε νοσήματος ἤτοι παρὸν ἢ προσδοκώμενον, ἡλικίαν ἀκμάζουσαν καὶ πρὸ τούτων γε πάντων δυνάμεως ῥώμην ἢ ἀρρωστίαν, ἐφεξῆς δὲ τὴν φυσικὴν ἕξιν ὅλου τοῦ σώματος, ὥραν τε τοῦ ἔτους καὶ χώραν καὶ τὴν παροῦσαν κατάστασιν τοῦ περιέχοντος, καὶ τὸν προγεγενημένον βίον καὶ δίαιταν, εἰ πλῆθος ἐδεσμάτων καὶ πομάτων καὶ μάλιστα πολυτρόφων ὁ ἄνθρωπος προσενεγκάμενος τύχοι, καὶ τὰ συνήθη γυμνάσια εἰ παραλέλειπται καὶ εἰ συνήθεις τινὲς ἐπεσχημέναι εἶεν ἐκκρίσεις. βαρύνοντος δὲ τοῦ πλήθους καὶ ἐνοχλοῦντος οὐ πάντως αἵματος ἀφαιρετέον. ἔσθ’ ὅτε γὰρ ὠμός τις χυμὸς ἤθροισται κατὰ τὸ σῶμα· διὸ προσέχειν χρὴ ἀκριβῶς μέχρι πόσου μὲν ἡ δύναμις ἔρρωται, μέχρι δὲ πόσου αὐτὸς ὁ χυμὸς ἔψυκται, ὅπερ διαγνώσῃ ἐκ τῶν οὔρων καὶ τῶν ἄλλων σημείων. προκαταλυθεῖσα γὰρ ἐπὶ τῶν τοιούτων διαθέσεων ἐν ταῖς φλεβοτομίαις ἡ δύναμις εἴωθε καταπίπτειν εἰς ἔσχατον, ὥστε μηκέτι ταύτην ἀνακτήσασθαι δύνασθαι. τούτου δὲ γενομένου κίνδυνος οὐ σμικρὸς ἕπεται, καὶ μάλισθ’ ὅταν ἐπιπεσόντος πυρετοῦ ἐν καταστάσει θερινῇ στομάχου μοχθηρῶς διακειμένου, ἢ τοῦ σώματος ὅλου μαλακοῦ καὶ φύσει ὑγροῦ τὴν κρᾶσιν ὄντος. [45]

10 (50) διαφοροῦνται γὰρ οἱ τοιοῦτοι καὶ συγκόπτονται τάχιστα, κἂν μὴ μέγας αὐτοῖς ἐπιπέσοι πυρετός· οὐ μὴν οὐδ’ εἰ χειμὼν εἴη ἢ τὸ χωρίον ψυχρὸν ἥ τε φύσις τοῦ ἀνθρώπου ψυχροτέρα παραληπτέον τὴν φλεβοτομίαν. τοὺς γὰρ οὕτω διακειμένους τρίψεσι μετρίαις καὶ χρίσμασι μετρίως θερμαίνουσι καὶ πόμασι τμητικοῖς ἰώμεθα. Περὶ μέτρου κενώσεως. [55]

11 Μέγεθος νοσήματος καὶ ῥώμη δυνάμεως οἱ πρῶτοι σκοποὶ φλεβοτομίας εἰσίν, οὓς αὐξανομένους μὲν ἐνδείκνυσθαι πλέονα τὴν κένωσιν, μὴ αὐξανομένους δὲ καθαιρεῖν χρὴ 〈εἰς τοσοῦτον〉 τὴν ποσότητα τῆς κενώσεως εἰς ὅσον ἐμειώθη ἡ δύναμις καὶ τὸ μέγεθος τοῦ νοσήματος. συνεπισκοπεῖσθαι δ’ ἑξῆς ὁποία ποτέ ἐστιν ἡ φύσις τοῦ ἀνθρώπου· τοὺς μὲν γὰρ ἰσχνοὺς τῷ σώματι μετρίως μεγάλας τε φλέβας ἔχοντας καὶ πολυαίμους ἀφειδέστερον κενώσεις, τοὺς δὲ φλέβας μὲν λεπτοτέρας ἔχοντας λευκοὺς δὲ τῷ σώματι καὶ ἁπαλοσάρκους φειδομένως. αἷμά τε γὰρ οὗτοι ὀλίγον ἔχουσι καὶ εὐδιαφόρητοί εἰσι. κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις ἄχρι τεσσαρεσκαιδεκαετοῦς ἡλικίας· οὐδὲ μὴν τοὺς γεγηρακότας καὶ μάλιστα δυνάμεως ἀσθενοῦς ὑποκειμένης, δυνάμεως δὲ ἰσχυρᾶς ὑποκειμένης καὶ τῆς χρείας κατεπειγούσης καὶ τοὺς ἑβδομηκοντούτας φλεβοτομήσεις. Ποίας τμητέον φλέβας.

12 Ἀντισπάσεως μὲν ἕνεκα ἑκάστοτε τὰς κατ’ εὐθεῖαν τῶν αἱμορραγούντων τέμνε φλέβας, οἷον δεξιοῦ μυκτῆρος αἱμορραγοῦντος τὴν ἐν τῇ δεξιᾷ χειρί, εὐωνύμου δὲ τὴν ἐν τῇ εὐωνύμῳ. σπληνὸς δὲ πάσχοντος τὴν ἐν τῷ μεταξὺ τοῦ παραμέσου καὶ τοῦ μικροῦ δακτύλου φλέβα τέμνε τῆς ἀριστερᾶς χειρὸς ἢ τὴν ἐν ἀγκῶνι τὴν ἔνδον. καὶ ἐπὶ πλευριτικῶν δὲ τὴν κατ’ εὐθὺ τοῦ πάσχοντος τέμνε. καὶ ὀδύνας δὲ ὀφθαλμῶν ἰσχυροτάτας θαυμαστῶς ὠφελεῖ ἡ κατ’ εὐθὺ τοῦ πάσχοντος ὀφθαλμοῦ φλὲψ τμηθεῖσα ἡ ὠμιαία καλουμένη κατ’ ἀγκῶνα. αἱ μὲν γὰρ ἐνδότεραι φλέβες τμηθεῖσαι ὠφέλιμοι ἐπὶ τῶν κάτω τοῦ τραχήλου πεπονθότων μερῶν, αἱ δὲ ἔξωθεν τῶν κατὰ πρόσωπον καὶ κεφαλήν, αἱ δὲ μέσαι ἀμφοτέρων, ἁμαρτηθείσης δὲ τῆς φλεβοτομίας, κατὰ μὲν τὴν μέσην φλέβα νεῦρον ὑποκείμενον διαιρεῖται, κατὰ δὲ τὴν ἔνδον ἀρτηρία ὑποκειμένη, καὶ χρὴ φυλάττεσθαι τέμνειν ταύτην ἄνευ μεγάλης ἀνάγκης· τὴν γὰρ ὠμιαίαν φλέβα τέμνειν ἀκινδυνότερον καὶ μεγάλης γενομένης ἐπὶ ταύτης πολλάκις διαιρέσεως, οὔτε φλεγμοναὶ ἐπηκολούθησαν οὔτε ὀδύναι· διὸ χρὴ ταύτην μὲν θαρροῦντας τέμνειν, μετὰ πολλῆς δὲ εὐλαβείας τὴν ἔνδον, φεύγειν δὲ πειρᾶσθαι καὶ τὴν μέσην. ὥσπερ δὲ τὰ εἰρημένα μόρια ταῖς κατ’ ἀγκῶνα φλεβοτομίαις ὠφελεῖται, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων, τουτέστι κατ’ ἰσχίον καὶ μήτραν καὶ κύστιν, ταῖς ἐπ’ ἰγνύας ἢ παρὰ τὰ σφυρά. νεφροὶ δὲ ἐπαμφοτερίζουσι. καὶ γὰρ καὶ ἐπὶ τῇ κατ’ ἀγκῶνα φλεβοτομίᾳ ὀνίνανται καὶ ἐπὶ τῇ κάτω. οἶδα δὲ ἰσχιάδας θεραπευθείσας ἐν ἡμέρᾳ μιᾷ ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσεως, ὅσαι μὴ διὰ ψύξιν, ἀλλὰ πεπληρωμένων τοῦ αἵματος τῶν κατ’ ἰσχίον ἀγγείων ἐγένοντο. χρὴ δὲ ἐπὶ μὲν τῶν ἀρχομένων φλεγμονῶν πασῶν ἀντισπαστικῶς ποιεῖσθαι τὴν φλεβοτομίαν, οἷον ποδὸς φλεγμαίνοντος ἐκ τῆς χειρὸς φλεβοτομεῖν· ἐπὶ δὲ τῶν κεχρονισμένων παθῶν μάλιστα μὲν ἐξ αὐτῶν τῶν πεπονθότων μορίων· εἰ δὲ μή, ἐκ τῶν πλησίον. Πῶς φλεβοτομητέον ἐκ τῶν Ἀντύλλου.

13 Καταπείροντες μὲν φλεβοτομοῦμεν, ἐπειδὰν ἄδηλα ᾖ τὰ ἀγγεῖα, ἀνακείροντες δέ, ἐπειδὰν σφόδρα ἐπιπόλαια, καὶ ἐπερείδοντες μὲν τὴν χεῖρα ἐπὶ τῶν δειλοτέρων καὶ εἰωθότων ἐπὶ τῇ πληγῇ συγκάμπτειν τὸν ἀγκῶνα. δεῖ δὲ μὴ πᾶν διαιρεῖν τὸ ἀγγεῖον· ἀνατρεπομένων γὰρ αὐτοῦ τῶν χειλῶν, ἡ ῥύσις οὐ γίγνεται μετ’ ἀκοντισμοῦ· οὔτε δὲ τὸ κάτω μέρος τοῦ ἀγγείου διαιρεῖν χρὴ τὸ πρὸς τὴν κερκίδα, ἀλλὰ τὸ ἄνω τὸ πρὸς τὴν ἔκφυσιν τοῦ βραχίονος ἀνανεῦον. τοῦ γὰρ ἄνω διαιρεθέντος, εὔμορφος ἐξακοντισμὸς τοῦ αἵματος γίγνεται. πρὸς τούτοις δὲ χρήσιμος ἡ τοῦ ἄνω μέρους τοῦ ἀγγείου διαίρεσις· ὅτι οὐκ ἔστιν ἀποτυχεῖν τοῦ ἀγγείου. Ἀντύλλου περὶ μεγέθους διαιρέσεως.

14 Ἐπὶ μὲν τῶν κενώσεως ἀθρόως δεομένων μεγάλην ἐμβλητέον διαίρεσιν, καὶ μᾶλλον ἐφ’ ὧν πάχος τεκμαιρόμεθα συμπεριέχεσθαι τῷ αἵματι, ἐφ’ ὧν δὲ περισπάσαι καὶ ἀποστρέψαι βουλόμεθα αἵματος φοράν, οἷον ἐπὶ τῶν ἀναγόντων αἷμα ἢ ἐκ ῥινῶν αἱμορραγούντων ἢ ἑτέρου τινὸς μέρους, μικρὰν σφόδρα τὴν διαίρεσιν ποιεῖσθαι χρή· οὐ γὰρ κενώσεως δέονται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κενούμενοί γε ὑπὸ τοῦ πάθους, ἀλλ' ἀνθολκῆς καὶ περισπασμοῦ· δεῖ οὖν ἐπὶ τούτων συγχωρεῖν τὸ αἷμα ῥεῖν πολλῷ χρόνῳ διὰ τῆς φλεβός. μικραῖς δὲ διαιρέσεσι χρηστέον καὶ ἐπὶ τῶν φρενιτικῶν καὶ τῶν μαινομένων ἢ ἄλλως παραφρονούντων, ὥστε ταχείαν τὴν κόλλησιν τῆς διαιρέσεως γενέσθαι. συμβαίνει γὰρ τοὺς παραφρονοῦντας πολλάκις λαθόντας λῦσαι τὸν δεσμὸν τῆς χειρός· καὶ εἴγε τύχοι μεγάλην εἶναι τὴν διαίρεσιν, ἐπακολουθεῖ ὁ ἐκ τῆς αἱμορραγίας κίνδυνος. ἐπὶ δὲ τῆς μικρᾶς καὶ θρόμβος ἐνιστάμενος τῷ στομίῳ τῆς διαιρέσεως κωλύειν δύναται αἱμορραγίαν. ἔτι δὲ μικραῖς διαιρέσεσι χρηστέον ἐπὶ τῶν μικρῶν ἀγγείων, μεγάλαις δὲ ἐπὶ τῶν μειζόνων. εἰ γὰρ ἐπὶ τῶν μεγάλων ἀγγείων μικρὰ γένοιτο διαίρεσις, ἐνθρόμβωσις ἐξ ἀνάγκης γίγνεται. [15]

15 —Περὶ σχήματος διαιρέσεως ἐκ τῶν Ἀντύλλου. Σχήματα δὲ τρία διαιρέσεως· τὸ μὲν ἐπικάρσιον, τὸ δὲ εὐθὺ οὐχὶ κεῖρον, ἀλλὰ σχίζον τὴν φλέβα κατ' εὐθύ, τὸ δὲ μεταξὺ τούτων προσαγορευόμενον λοξόν. τῷ μὲν οὖν ἐπικαρσίῳ χρηστέον ἐφ' ὧν οὐδόλως ἐπαφαίρεσιν δοκιμάζομεν· καμφθέντος γὰρ τοῦ ἀγκῶνος, παρατίθεται τὰ χείλη τῆς διαιρέσεως. μάλιστα δὲ ἐπιτήδειον τοῦτο τὸ σχῆμα, ἐπειδὰν μεγάλην τὴν διαίρεσιν βουληθῶμεν ἐμβάλλειν. τὸ δὲ λοξὸν σχῆμα χρήσιμον, ἐφ' ὧν ἐπαφαιρέσεως χρεία, καὶ ὅτι οὐκ ἀποτυγχάνομεν τοῦ ἀγγείου οὕτως διαιροῦντες, ἀλλὰ καὶ ὁ ἐξακοντισμὸς τοῦ αἵματος ἐκ τῆς λοξῆς διαιρέσεως εὐμορφότερος πρὸς τὴν ὄψιν γίγνεται τοῖς θεωμένοις, οἷον ἐπιστρεφομένου καὶ εἱλομένου τοῦ αἵματος ἐν τῇ πηδήσει. τὸ δὲ ἐπίμηκες κατ' εὐθὺ σχῆμα ἐπιτήδειον ἐφ' ὧν οὐ μόνον αὐτῆς τῆς ἡμέρας ἐπαφαιροῦμεν, ἀλλὰ καὶ μετὰ μίαν ἢ δύο. καμφθέντος γὰρ τοῦ ἀγκῶνος, διίσταται ἀπ' ἀλλήλων τὰ χείλη τῆς διαιρέσεως. ἐπιτήδειος δὲ ἡ κατ' εὐθὺ διαίρεσις, ἐφ' ὧν περιτροπὴ τῶν χειλῶν τῆς διαιρέσεως εἴωθε γίγνεσθαι, ἧττον δὲ εὔμορφος ἐπὶ τούτῳ τῷ σχήματι ὁ ἀκοντισμὸς τοῦ αἵματος γίγνεται. Τίς καιρὸς φλεβοτομίας Γαληνοῦ. [15]

16 Ἐν πάσῃ καὶ ἡμέρας καὶ νυκτὸς ὥρᾳ, χρείας κατεπειγούσης, φλεβοτομήσεις, σκοπὸν ἔχων ἐπὶ μὲν τῶν πυρεττόντων τὴν παρακμὴν τοῦ παροξυσμοῦ. ἐπὶ δὲ τῶν ἤτοι δι' ὀφθαλμίαν ἢ δι' ἄλλο τι τοιοῦτον χωρὶς πυρετοῦ δεομένων φλεβοτομίας, τὸ μέγεθος σκόπει τῆς ὀδύνης ἢ τῆς φλεγμονῆς· ἐν ᾗ γὰρ ἂν ὥρᾳ θεάσῃ τὴν ὀδύνην πραυνομένην, φλεβοτομήσεις. μηδενὸς δὲ τοιούτου κατεπείγοντος, ἄμεινόν ἐστιν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τῶν ὕπνων ἐξαναστῆναι, ἀλλὰ προεγρηγορήσαντας χρόνον ὥρας μιᾶς καὶ προλούειν δέ τινας ἄμεινον καὶ προπεριπατήσαντας ἐνίους. ἐφ' ὧν δὲ προφυλακῆς χάριν φλεβοτομοῦμεν, ἐγχωρεῖ καὶ μετὰ τὸ πρᾶξαί τινα τῶν συνήθων ἔργων φλεβοτομεῖν. Περὶ ἐπαφαιρέσεως Γαληνοῦ. [10]

17 Ἐφ' ὧν μὲν ἁπλῶς κενῶσαι βουλόμεθα, κατὰ τὴν αὐτὴν ἡμέραν γιγνέσθω ἡ ἐπαφαίρεσις· ἐφ' ὧν δὲ ἀντισπᾶσαι, κἂν δύο ταῖς ἑξῆς ἡμέραις γίγνοιτο, βέλτιόν ἐστι. καὶ ἐφ' ὧν κενώσεως μὲν χρεία πολλῆς, οὐκ ἰσχυρὰ δὲ ἡ δύναμις, ἐπὶ τούτων χρὴ ταμιεύεσθαι τὴν κένωσιν καὶ τὴν πρώτην ἀφαίρεσιν ἐλλιπεστέραν ποιησάμενον ἐπαφαιρεῖν αὖθις· εἰ δὲ βούλει καὶ τρίτον, ὅταν δὲ ζέοντος αἵματος πλῆθος ἀνάπτῃ πυρετὸν ὀξύτατον, ὡς ἐπὶ τῶν συνόχων, ἀθρόας ἐστὶ κενώσεως χρεία, καὶ χρὴ πειρᾶσθαι κενοῦν ἄχρι λειποθυμίας, ἐπισκοπούμενον τὴν ῥώμην τῆς δυνάμεως διὰ τῶν σφυγμῶν· ἐπ' ἐνίων γὰρ οἶδα ἄχρι λιτρῶν ἓξ ἀφαιρῶν εὐθέως. ῥέοντος τοίνυν τοῦ αἵματος προσέχειν δεῖ ἀεὶ τῶν σφυγμῶν ἐφαπτόμενον, ὡς μήποτε λάθοις σαυτὸν ἀντὶ λειποθυμίας θάνατον ἐργαζόμενος. Περὶ ἀρτηροτομίας Γαληνοῦ. [10]

18 Ἀρτηρίας διαιροῦσιν οἱ ἰατροί, τὰς μὲν ἐν τοῖς κροτάφοις ἐπὶ τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων, ὅταν θερμὰ καὶ πνευματώδη ὑπάρχῃ, τὰς δὲ ὄπισθεν τῶν ὤτων ἐπὶ τῶν σκοτωματικῶν, καὶ μάλιστα ὅσοι χρονίοις νοσήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. ἔτι δὲ καὶ δι' ἕτερα πλεῖστα πάθη περὶ κεφαλὴν συνιστάμενα χρόνια κέχρηνταί τινες, τέμνοντες τὰς ὄπισθεν τῶν ὤτων ἀρτηρίας. τινὲς δὲ ὀκνοῦσιν ἀρτηρίαν διαιρεῖν διὰ τὸ δυσεπίσχετον τῆς αἱμορραγίας, καὶ ὅτι τῆς διαιρέσεως εἰς οὐλὴν ἰούσης ἀνεύρυσμα γίγνεται ἐπί τινων. Ἴσχαιμον. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

19 Αἱμορραγίας μὲν οὖν ἐπακολουθούσης ἐκ τῆς ἀρτηρίας, χρὴ ταύτην τοῖς ἀγκίστροις ἀνασπῶντας διατέμνειν ὅλην ἐγκαρσίως, εἶτα ἀλόην καὶ λιβάνου μάνναν λειώσαντας χρὴ καὶ δεύσαντας τῷ λευκῷ τῶν ᾠῶν ἀναλαβεῖν λαγῴαις θριξὶν ἁπαλαῖς ὅ τι πλεῖστον τοῦ φαρμάκου καὶ ἐπιτιθέναι τῇ διαιρέσει. εἰρήσεται δὲ ἐπὶ πλέον περὶ τούτου ἐν τῷ περὶ αἱμορραγίας τόπῳ ἐν τοῖς τραυματικοῖς. Περὶ σικυάσεως ἐκ τῶν Ἀντύλλου. [5]

20 Οὔτε ἐν ἀρχαῖς τῶν παθῶν οὔτε ἐπὶ τῶν πληθωρικῶν σωμάτων σικύαις χρησόμεθα, ἀλλ' ὅταν κενωθῇ τὸ πᾶν σῶμα, καὶ μηκέτι ἐπιρρέῃ τῷ σικυαζομένῳ μορίῳ μηδὲ χρεία τε γένηται κινῆσαι καὶ μοχλεῦσαι καὶ ἑλκύσαι τὸ καταλιμπανόμενον ἐν τῷ μέρει ἄχρηστον. φυλάττεσθαι δὲ χρὴ σικύαν προσάγειν πλησίον μασθῶν. ἐμπίπτοντες γὰρ εἰς τὰς σικύας οἱ μασθοὶ καὶ οἰδισκόμενοι σφόδρα δυσχερῆ τὴν ἄρσιν ποιοῦνται· τότε δὲ χρὴ σπόγγοις ἐκ θερμοῦ περιλαμβάνειν τὰς σικύας· εἰώθασι γὰρ οὕτως ἀνιέναι. εἰ δὲ μηδὲ οὕτως ἐνδίδοιεν, τρυπᾶν τὰς σικύας δεῖ. χρὴ δὲ εἰδέναι ὡς οὐ μόνον τοπικὴ φλεβοτομία βλάβην παρέχεται πρὸ τοῦ τὸ σύμπαν σῶμα κενωθῆναι διὰ τῶν πεπονθότων μερῶν ἀφαιροῦσα τοῦ αἵματος, ἀλλὰ καὶ σικύα· καὶ φλεβοτομία μὲν ἧττον ἐπισφαλής· πρὸς λόγον γὰρ τῆς κατὰ τὴν ὕλην ἐπιφορᾶς καὶ τὴν ἀπόκρισιν τοῦ αἵματος ποιεῖται. ἡ δὲ σικύα τῇ τε προσβολῇ βιαίως ἐπισπωμένη τὴν ὕλην καὶ πολὺν περιλαμβάνουσα τόπον, οὐ μὴν οὐδὲ ἀγγείου αἰσθητοῦ ποιουμένη διαίρεσιν, ἐπισπᾶται μὲν ἀξιολόγως ὕλην, κενοῖ δὲ οὐ πρὸς λόγον τῆς ἐπελθούσης. καὶ καθ' ὑποχόνδρια μὲν ἀκαίρως προσβληθεῖσα μάλιστα ἐν τοῖς συνόχοις πυρετοῖς ἢ ἡμιτριταικοῖς καὶ μάλιστα εἰ καὶ τὰ τῆς διανοίας τοῦ κάμνοντος ᾖ ῥεμβώδη καὶ δυσαισθησία κρατεῖ, πνιγμοὺς καὶ θανάτους αὐθημερινοὺς ἐργάζεται. ἐπὶ δὲ κεφαλῆς ἀκαίρως προσβληθεῖσα ληθάργους κατόχους ὀφθαλμῶν προπτώσεις ἐπιφέρει. οἷς δ' ἂν εὐτυχηθείη διαφεύγειν ταῦτα, πάντως τι χρόνιον ἐντεῦθεν περὶ τὴν κεφαλὴν ἐξακολουθεῖ πάθος. Περὶ ἐγχαράξεως ἐκ τῶν Γαληνοῦ. [20]

21 Τὸ φλέβα διελεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον νομίσας, ἅμα γὰρ τῷ αἵματι πολὺ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα, τούτου δὲ ἀναλισκομένου πυκνότερον ὅ τε ὅλος ὄγκος καταψύχεται καὶ πάντα τὰ φυσικὰ ἔργα χείρω γίγνεται, ἐδοκίμασα οὖν ἀπὸ τῶν ἀκυροτέρων, οἷον τῶν σκελῶν, τὴν ἀφαίρεσιν ποιεῖσθαι. ἄριστον δὲ τὸ βοήθημα εἴς τε τήρησιν τῆς ὑγείας καὶ εἰς ἀνάκτησιν αὐτῆς, ὁπότε παρατραπείη. ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματιζομένους καὶ τὰς ἄλλας περὶ κεφαλὴν διαθέσεις καὶ τὰς περὶ θώρακα καὶ συνάγχας. τὰς δὲ ἐν ἑκάστῳ μορίῳ γιγνομένας σφηκώσεις τοῦ αἵματος μετὰ τὸ κενῶσαι τὸ σύμπαν σῶμα λύειν χρὴ διὰ τῆς τοπικῆς ἐγχαράξεως. Περὶ βδελλῶν ἐκ τῶν Ἀντύλλου. [10]

22 Τὰς βδέλλας λαβόντας χρὴ φυλάττειν ἡμέραν μίαν, αἷμα ὀλίγον εἰς διατροφὴν ἐμβάλλοντας. ἐπὶ δὲ τῆς χρείας τὸ βδελλιζόμενον μέρος προυκνιτρούσθω καὶ ἀποπλυνέσθω γλυκυτάτῳ ὕδατι ἀκριβῶς, ἔπειτα χριέσθω αἵματι μετὰ τὸ πυριαθῆναι· εἶτα λαβόντας τὰς βδέλλας χρὴ ἐμβάλλειν εἰς ὕδωρ καθαρόν, ἔπειτα σπόγγῳ ἀπομάττοντας τὸ λιγνυῶδες αὐτῶν οὕτω προσάγειν. ἐμφυσήσασαι γὰρ οὐ παύονται ἕλκουσαι, ἄχρις ἂν προσπάσσωμεν ἅλας τοῖς στόμασιν ἢ νίτρον ἢ σποδόν. μετὰ δὲ τὸ ἐκπεσεῖν πυριατέον σπόγγοις τοὺς τόπους, καὶ εἰ αἱμορραγοίη, κηκῖδα κεκαυμένην ἢ ὀθόνην κεκαυμένην ἢ ὀλίγον ὑγρᾷ πίττῃ βάψας καὶ καύσας ἐπίπασσε, ἐπιθεὶς ἄνωθεν χάρτην ὄξει βεβρεγμένον. Περὶ καθάρσεως ἐκ τῶν Ἀντύλλου. [10]

23 Τοὺς ὑγιεινῶς ἔχοντας τὰ σώματα ἐργῶδες καθαίρειν· καὶ γὰρ ἰλιγγιῶσι καὶ στροφοῦνται. καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται οἱ τοιοῦτοι καθαιρόμενοι. χρὴ δὲ καθαίρειν βουλομένους προλεπτύνειν καὶ τέμνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς καὶ τοὺς πόρους ἀναστομοῦν, δι' ὧν οἱ χυμοὶ μεταλαμβάνονται καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν φαρμάκων. καὶ τοὺς μὲν ὀρρώδεις καὶ λεπτοὺς χυμοὺς ἐν ἀρχῇ τῶν νοσημάτων κενῶσαι χρή, ἀναμένειν δὲ πέψιν ἐπὶ τῶν παχέων τε καὶ γλίσχρων, οἷόν ἐστι τὸ φλέγμα καὶ ἡ μέλαινα χολή· καὶ ἐπὶ πάντων δὲ τῶν χρονίων νοσημάτων ἀεὶ τὸν πεπασμὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναμένειν χρή· ἐν δὲ τοῖς ὀξέσιν, ὅταν κεκίνηνται αἱ ὕλαι καὶ καταρχὰς φαρμάκευε μετ' εὐλαβείας πολλῆς· ἐν κινήσει γὰρ καὶ φορᾷ καὶ ῥύσει ὄντων τῶν χυμῶν, δέος μή πώς τι τῶν σπλάγχνων ἀσθενὲς φύσει ὑπάρχον τὴν ὕλην κινηθεῖσαν ὑποδέξηται καὶ μάλιστα ὁ θώραξ. τοὺς δὲ καθ' ἕν τι μόριον ἐστηριγμένους χυμούς, οἷον ἐν φλεγμοναῖς γίγνεται τῶν σπλάγχνων, οὐ χρὴ φαρμακεύειν, πρὶν πεφθῆναι. "ὁκόσοι γὰρ τὰ φλεγμαίνοντα", φησὶν Ἱπποκράτης, "ἐν ἀρχῇσι φαρμακίῃσι λύειν ἐπιχειροῦσι τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν· οὐ γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος, τὰ δὲ ὑγιεινὰ καὶ ἀντέχοντα τῷ νοσήματι ξυντήκουσιν· ἀσθενέος δὲ τοῦ σώματος γιγνομένου ἐπικρατέει τὸ νόσημα. ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ ὀλεθρίως ἔχει." ὑπὲρ μὲν οὖν τῆς τῶν ὑλῶν μεταγωγῆς κεχρήμεθα καθαρτικοῖς ἐπὶ κεφαλαίας καὶ σκοτώματος ἡμικρανίας ἐπιληψίας ἄσθματος ὀρθοπνοίας ἰσχιάδος ἀρθρίτιδος ποδάγρας νεφρίτιδος, ἐπί τε τῶν κατὰ κύστιν καὶ ὑστέραν διαθέσεων, εἰ χρόνια εἴη· ὁμοίως δὲ κἀπειδὰν ῥεῦμα συνεχῶς ἐνοχλοίη ὠσὶν ἢ μυκτῆρσιν ἢ ὀφθαλμοῖς ἢ στόματι ἢ στομάχῳ ἢ ὅλῃ τῇ ἐπιφανείᾳ καὶ μήτε ξηραίνηται πρὸς τῶν ἄλλων βοηθημάτων μήτε στῆναι δυνατὸν ἄλλως· εἴωθε γὰρ ἡ διὰ τῆς κοιλίας κάθαρσις τοὺς ῥευματισμοὺς ἐπέχειν. ἐνταῦθα τακτέον καὶ τὴν ὑπὲρ αἱμορροΐδων ἐποχῆς παραλαμβανομένην κάθαρσιν τοῦ μελαγχολικοῦ χυμοῦ μετὰ τὴν φλεβοτομίαν. ἕνεκεν δὲ τοῦ διαμοχλεῦσαι καὶ κινῆσαι διάθεσιν χρονίαν χρώμεθα καθαρτικοῖς ἐπὶ παρέσεως ἀποπληξίας ἀτροφίας νωθρείας καρώσεως βαρῶν ἐμμόνων, καθ' ὅτι ἂν τύχοι μέρος τοῦ σώματος. ὑπὲρ δὲ τοῦ μεταποιῆσαι τὴν τοῦ σώματος κρᾶσιν χρώμεθα καθαρτικοῖς ἐπὶ χρονίων πυρετῶν, οἷον ἀμφημερινῶν τεταρταίων, μανίας μελαγχολίας ἐκστάσεως καχεξίας ἀτροφίας τῆς διὰ χυμὸν μοχθηρὸν γεγονυίας, ἔτι δὲ ἐπὶ ἐλέφαντος ψώρας λέπρας ἐξανθημάτων φθειριάσεως, ἐπί τε ἑλκῶν πολλῶν αὐτομάτων καὶ δυσαλθῶν καὶ ῥευματικῶν διαθέσεων. χάριν δὲ τοῦ τὸ παρακείμενον καὶ ἐνοχλοῦν ἐξαγαγεῖν ὑγρὸν χρώμεθα καθαρτικοῖς ἐπὶ ὕδρωπος ἰκτέρου. ἐνταῦθα δὲ τακτέον καὶ τοὺς τῆς κοιλίας ῥευματισμούς, ἐφ' ὧν παραλαμβάνομεν καθαρτικόν· ἐνίοτε γὰρ δριμὺ καὶ ἀχρεῖον ὑγρὸν ἐγκαθήμενον τοῖς χιτῶσι τῆς γαστρὸς ἢ τῶν ἐντέρων παραπλησίως ταῖς δριμείαις βαλάνοις καὶ τοῖς δριμέσι κλυσμοῖς ἐρεθίζει τὰ ἔντερα, καὶ ὁμοῦ μὲν αὐτὰ ὑπομιμνήσκει καὶ προθυμίαν ἐργάζεται πρὸς ἀπόκρισιν, ὁμοῦ δὲ τῇ δριμύτητι ἐπισπᾶται τὸ ὑγρὸν ἐκ τῶν κύκλῳ σωμάτων καὶ τοῦ παντὸς ὄγκου. ἐπὶ τούτων οὖν εὔλογον καθαρτικοῖς χρῆσθαι πρὸς τὸ ἐξελάσαι τὸ τοιοῦτον ὑγρὸν ἐκ τοῦ σώματος καὶ καθαρὰν ποιῆσαι τήν τε γαστέρα καὶ τὰ ἔντερα. καθόλου δὲ χρηστέον τοῖς καθαρτικοῖς φαρμάκοις ἐπὶ τῶν εὐτόνων τῇ δυνάμει καὶ προθύμων τῇ προαιρέσει, στόμαχόν τε εὔτονον ἐχόντων καὶ πολλὴν ὕλην ἀχρείαν ἐν τῷ σώματι συλλεγόντων. [45]

23 (50) οἱ δὲ καταπίμελοι καὶ οἱ ὑπέρισχνοι πρὸς κάθαρσιν ἀνεπιτήδειοι, ἔτι δὲ οἱ πολύαιμοι καὶ οἱ συνεχῶς λειποθυμοῦντες καὶ οἱ δυσανάκτητοι καὶ οἱ ταχέως ἐμοῦντες ἐπὶ πάσῃ προφάσει, ἔτι δὲ παῖδες καὶ γέροντες καὶ γυναῖκες ἰσχυρῶς τοῖς καταμηνίοις καθαιρόμεναι. καὶ οἱ καθαροὶ τὸ σῶμα σφόδρα καὶ οἱ κατὰ τὴν δίαιταν ἠκριβωμένοι καὶ οἷς σφόδρα ἐστέγνωται ἡ κοιλία κατὰ φύσιν καὶ οἱ δυσεντερίᾳ καὶ κοιλιακῇ διαθέσει ῥᾷον ἁλισκόμενοι, οἵ τε κοιλιακῇ διαθέσει ἐνοχλούμενοι, πάντες οὗτοι πρὸς κάθαρσιν ἀνεπιτήδειοι. ἀρκτέον τοίνυν ἀπὸ τῶν χολὴν καθαιρόντων φαρμάκων. Χολῆς ξανθῆς καθαρτικά. [55]

24 Ἀλόη τὸ μὲν σῶμα ὅλον οὐ κενοῖ, τὴν παρακειμένην δὲ ἐν τῷ στομάχῳ καὶ κοιλίᾳ καὶ ἐντέροις χολὴν ἐξάγει ἀλύπως, καὶ ἡσυχῇ σὺν τοῖς ὑποκειμένοις σκυβάλοις. δοτέον οὖν αὐτὴν τοῖς τὴν κεφαλὴν ἐνοχλουμένοις διὰ τὰς ἐκ τοῦ στομάχου ἐπ' αὐτὴν γιγνομένας συνεχεῖς ἀναθυμιάσεις· ὑποτέμνει γὰρ τὴν χορηγίαν τῶν ἀχρείων ἀναθυμιάσεων. δοτέον δὲ αὐτὴν καὶ τοῖς ὀφθαλμιῶσι διὰ τὴν αὐτὴν αἰτίαν καὶ τοῖς διψῶσιν, οἷς ἥ τε γλῶσσα καὶ τὸ διὰ χολῆς παράθεσιν στόμα ῥᾳδίως ἀναξηραίνεται καὶ τοῖς περὶ στόμαχον πυρώσεως ἢ ἄσης ἤ τινος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀηδίας ἀνατρεπτικῆς ἀντιλαμβανομένοις. δοτέον δὲ καὶ τοῖς ὠχροτέροις παρὰ λόγον γεγονόσι καὶ ἐφ’ ὧν δεῖται μὲν ἐξαγωγῆς τὰ περιττώματα· κλυσμὸς δὲ παραληφθῆναι ἐπ’ αὐτῶν οὐ δύναται διά τινα αἰτίαν. δοτέον δὲ τῆς ἀλόης ὅσον < β μετὰ μελικράτου. ἀγαθὸν δὲ καὶ εἴ τις αὐτὴν λαμβάνει καθ’ ἡμέραν ἢ ἀπὸ δείπνου ἢ ἕωθεν πρὸ τροφῆς μᾶλλον. λειώσας δὲ τὴν ἀλόην, ἀνάπλαττε τῷ χυλῷ τοῦ φλοιοῦ τοῦ κιτρίου· εἰ δὲ μὴ παρείη, χρῶ χυλῷ κράμβης. ἐχέτωσαν δὲ τὰ καταπότια μέγεθος ἐρεβίνθου, καὶ δίδου γ ἢ ε καθ’ ἑκάστην τῷ δεομένῳ· δυνατὸν δὲ καὶ μετὰ τερεβινθίνης αὐτὴν ἀναπλάττειν καὶ μετὰ μέλιτος ἑφθοῦ. ἐπιρροφεῖν δὲ χρὴ ἐν τῷ καταπίνειν μελίκρατον. [τὰ γὰρ καθαρτικὰ τὸ πᾶν αἴτιον ἐκ τοῦ σώματος ἕλκουσι, δίκην σικύας, εἰς τὰ καίρια μόρια προσομιλοῦντα καὶ κενοῦντα διὰ γαστρός.] Σκαμμωνία.

25 Ἡ δὲ σκαμμωνία ἄγει μάλιστα χολὴν ξανθήν· καρδιαλγὴς δέ ἐστι καὶ δύσοσμος καὶ ἀτερπὴς καὶ ἄγαν διψώδης. ὄντων γὰρ τῶν καθαρτικῶν πάντων κακοστομάχων, χωρὶς τῆς ἀλόης πάντων μάλιστα κακοστομαχωτέρα ἐστὶν ἡ σκαμμωνία. παραφυλακτέον οὖν αὐτὴν ἐπὶ τῶν ἀσθενῆ ἐχόντων τὸν στόμαχον καὶ ἐπὶ τῶν πυρεττόντων. κουφοτάτη γὰρ οὖσα ῥᾳδίως ἀναρπάζεται εἰς τὸ σῶμα καὶ συγκινεῖ μὲν πᾶσαν τὴν ἐν αὐτῷ ἀκαθαρσίαν, κωλύεται δὲ ὑπὸ τῆς πυρεκτικῆς θερμασίας πρὸς τὴν ἔκκρισιν τὰ περιττώματα ἀγαγεῖν. δοτέον οὖν αὐτὴν τοῖς ἀπυρέτοις καὶ εὐστομάχοις καὶ τοῖς δυσεμέσι καὶ τοῖς μὴ ῥᾳδίως λειποθυμοῦσιν. ἡ δὲ δόσις Γ ρʹ β ἢ πλέον ἢ ἔλαττον πρὸς δύναμιν. μικτέον δὲ αὐτὴν καὶ ἁλσί· καὶ θύμου κόμην ἢ γλήχωνα ἐμβαλεῖν, ἐπὶ δὲ τῶν ἀνεχομένων ἀλόην μίσγειν βέλτιον. δίδοται δὲ καὶ καθ’ ἑαυτὴν μετὰ μέλιτος ἢ χυλοῦ πτισσάνης, ἐφ’ ὧν βουλόμεθα λάθρα διδόναι. Πέπλιον.

26 Ταύτης τὸ σπέρμα ἐνίοτε δὲ καὶ μετὰ τῶν ἀκρεμόνων ξηράνας ἐν σκιᾷ κόψας σήσας δίδου Γ ρʹ δ ἐν μελικράτῳ ἐπιρραίνων ὄξους βραχύτατον. μετὰ γὰρ τοῦ ξανθὴν χολὴν καὶ μέλαιναν καὶ φλέγμα ἄγειν καὶ φυσῶν ἐστι καταρρηκτικόν, καθώς που καὶ Ἱπποκράτης φησί. μάλιστα οὖν ἁρμόζει τοῖς φυσώδεσι τῶν παθῶν, ἃ δὴ μελαγχολίας κατάρχει· ἁρμόζει δὲ καὶ σπληνὸς ἐμπνευματώσεσι χρονίαις καὶ ὑστέρας καὶ κώλου καὶ σομφοῖς οἰδήμασιν ἐν τῷ ἐπιγαστρίῳ. Ἐλλέβορος μέλας.

27 Καθαίρει κάτω τὴν μέλαιναν καὶ τὴν ξανθὴν χολὴν ἐκ παντὸς τοῦ σώματος αὐτὰς ἕλκων, οὐ μέντοι γε μετά τινος περισκελίας· διὸ καὶ τοῖς πυρέττουσι περιοδικῶς καὶ χρονίως προσάγομεν αὐτόν· δίδοται δὲ καὶ μαινομένοις ἑτεροκρανικοῖς ὑπὸ κεφαλαλγίας χρονίας ἐνοχλουμένοις. μάλιστα δέ ἐστιν ἐπιτηδειότατος σπλάγχνοις τε καὶ ὑστέρᾳ καὶ κύστει φαρμακείας δεομένοις. μεγίστη δὲ αὐτοῦ δύναμίς ἐστι τὸ ἰδίως ἐξάγειν πᾶν, εἴ τι ἂν ἀναμίγνυται τῷ αἵματι, φθαρτικόν· ὅθεν καὶ ἐπὶ τῶν χρονιζόντων ἰκτέρων χρήσιμος. καὶ τοῖς περὶ τὴν ἐπιφάνειαν γιγνομένοις τραχυσμοῖς, οἷον λέπρα λειχῆνες καὶ τὰ ὅμοια, καὶ τοῖς ἐλεφαντιῶσιν ἐπιτήδειος. ἡ δὲ δόσις Γ ρʹ γ ἢ πλέον ἢ ἔλαττον τῶν περὶ τὰς ῥίζας λεπτῶν ξυλαρίων ἀποβρεχομένων πρὸς ὀλίγον ὕδατι, εἶτα ἀφαιρουμένου τοῦ φλοιοῦ καὶ ξηραινομένου ἐν σκιᾷ καὶ κοπτομένου καὶ σηθομένου. δίδοται δὲ μετὰ γλυκέος ἢ ὀξυμέλιτος. δεῖ δὲ προσπλέκειν αὐτῷ ἡδύσματος χάριν πετροσελίνου καὶ δαύκου βραχύ· εἰ δὲ δραστικώτερον βούλει καθᾶραι, μίσγε καὶ σκαμμωνίας βραχύ. Περὶ τῶν χολὴν μέλαιναν ἀγόντων.

28 τοῖς δὲ χολὴν μέλαιναν ἄγουσι χρηστέον προηγουμένως ἐπὶ μελαγχολικῶν στομαχικῶν εὐπαροξύντων ὀργίλων μισανθρώπων ἀναχωρητικῶν καὶ τῶν ἐν ἀναλήψει δεομένων καθάρσεως καὶ ἐπὶ ἕξεων καταξήρων ὀλιγαίμων μυωδῶν καὶ ἐν μετοπώρῳ μάλιστα πυρώδει. Ἐπίθυμον.

29 Τὴν μέλαιναν χολὴν κάτω καθαίρει· δοτέον δὲ αὐτοῦ κεκομμένου καὶ σεσησμένου τοῖς τελείοις Γ ρʹ ιβ μετὰ γλυκέος ἢ ὀξυμέλιτος καὶ ἁλῶν ὀλίγων. συμφέρει δὲ φυσώδεσι πάθεσι καὶ ὑποχονδριακοῖς καὶ οἷς τὸ ἧπαρ βαρύνεται καὶ δυσπνοικοῖς. παραπλησίως δὲ τῷ ἐπιθύμῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἐπὶ τῆς στοιβῆς φυόμενον καὶ τὸ ἐπὶ τῆς θύμβρας καλούμενον ἐπίθυμβρον καθαίρει, πλὴν ἀσθενέστερον ἑκάτερον τῇ δυνάμει. Πολυπόδιον.

30 ἄγει χολὴν μάλιστα μέλαιναν καὶ φλέγμα. δίδου δὲ τῆς ῥίζης κεκαθαρμένης Γ ρʹ ϛ ἐπιξέων αὐτὴν μελικράτῳ ὑδαρεῖ. δυνατὸν δὲ καὶ ἐπὶ τάριχος ξύσαντα φαγεῖν πρὸ τοῦ ἀρίστου. καθαίρει δὲ μετρίως καὶ ἐν ζωμῷ ὄρνιθος καὶ ἐν πτισσάνῃ ἡ ῥίζα ἑψηθεῖσα ἀλύπως καὶ μετρίως. Γλήχων τραγορίγανος λευκάνθεμον ἄλυσσον.

31 γλήχων ἄγει μέλαιναν χολήν, πλῆθος ὀξυβάφου ποθεῖσα ἐν μελικράτῳ· παραπλησίως δὲ καὶ τραγορίγανος καὶ παρθένιον δέ, ὃ καὶ λευκάνθεμον καλεῖται, πλῆθος ἑκάστου Γ ρʹ ϛ τὸ αὐτὸ καθαίρει. καὶ ἄλυσσον δὲ τῶν αὐτῶν ἐστι καθαρτικόν· δίδοται δὲ καὶ αὐτῆς Γ ρʹ ϛ . βέλτιον δὲ διδόναι ταῦτα σὺν ὄξει καὶ ἁλσὶν ὀλίγοις καὶ ὕδατι, ξηρὰ λεῖα ἐπιπάσσοντα τῷ τόπῳ. Ἀρμένιον, ᾧ οἱ ζωγράφοι χρῶνται, καθαίρει τὴν μέλαιναν χολὴν καὶ ἅπαν τὸ συμμεμιγμένον τῷ αἵματι παχὺ καὶ γλίσχρον, ὅθεν δίδοται τοῖς μελαγχολικοῖς καὶ ἐλεφαντιώδεσι καὶ τοῖς παραπλησίοις καὶ νεφριτικοῖς καὶ ἀσθματικοῖς.

32 ἡ δὲ δόσις Γ ρʹ δ ἢ πλέον ἢ ἔλαττον. Κενταύριον τὸ λεπτόν.

33 Χολὴν παχυτάτην καθαίρει καὶ μύξαν· διὸ ἁρμοδίως δίδοται σπληνικοῖς καὶ ἰσχιαδικοῖς. πίνεται δὲ αὐτοῦ τὸ ἀφέψημα ἀποζεσθέν τι ἐν ὕδατι. ἔστω δὲ τοῦ μὲν κενταυρίου Γ ρʹ ϛ , ὕδατος δὲ κοτύλης μέτρον· ἑψείσθω δὲ εἰς τὸ ἥμισυ. Περὶ φλεγμαγωγῶν.

34 Τοῖς δὲ φλεγμαγωγοῖς χρηστέον ἐπί τε τῶν ψυχροτέρων ἕξεων καὶ ἡλικιῶν καὶ νοσημάτων, οἷον παρέτων ἀποπλήκτων παρῳδηκότων οἰδήμασι σομφοῖς ἐπί τε τῶν πολλὰ ἀπομυττομένων καὶ παχέα καὶ ἰσχιαδικῶν τῶν ὑπὸ φλέγματος ἐνοχλουμένων καὶ ἐπὶ τῶν ἀνὰ σάρκα ὑδέρων. Κολοκυνθὶς καθαίρει φλέγμα καὶ χολὴν καὶ μυξώδη, ὅθεν νεύρων καὶ νευρωδῶν σωμάτων ἐστὶ καθαρτικόν.

35 δίδοται οὖν καταλλήλως ἐπὶ πάντων τῶν περὶ τὴν κεφαλὴν παθῶν, ἐπί τε ὀρθοπνοικῶν καὶ τῶν ὁμοίων, ἐπί τε ἰσχιαδικῶν καὶ ἀρθριτικῶν καὶ τοῖς περὶ νεφροὺς καὶ κύστιν χρονίαν ἐσχηκόσι διάθεσιν. ἐστὶ δὲ καὶ τοῖς ἄλλοις νοσήμασι κατάλληλος, ὅσα δυσμόχλευτον καὶ οἷον σκιρρώδη ἔχοντα τὴν διάθεσιν. δίδοται δὲ πλῆθος Γ ρʹ β τῆς ἐντεριώνης ἐν μελικράτου κυάθοις δυσίν, ἐπὶ δὲ τῶν ἀσθενεστέρων Γ ρʹ α . ἐκλεκτέον δὲ λευκὴν καὶ ἁπαλὴν τὴν ἐντεριώνην· ἡ γὰρ ξηροτέρα καὶ ἡ μελανίζουσα φαύλη. κοπτέσθω δὲ καὶ λεαινέσθω ἐπιμελῶς καὶ σηθέσθω πολλάκις καὶ ἐπὶ τῆς χρείας λειούσθω μετὰ τοῦ μελικράτου ἐν θυίᾳ εὖ μάλα. πάσχει γάρ τι τοιοῦτον· κοπεῖσα μὲν πρὶν βραχῆναι λεπτοτάτη φαίνεται, τῷ δὲ μελικράτῳ ἐμβληθεῖσα καὶ διαβραχεῖσα διοιδάνει σφόδρα, ὥστε ἀπιστεῖσθαι βλεπομένη ὅτι διεσήθη. τῶν οὖν ἀνοιδησάντων αὐτῆς μερῶν ἐνίοτε προσίσχεταί τινα τῇ γαστρὶ ἢ τῷ στομάχῳ, μάλιστα δὲ ἐν ταῖς ἕλιξι τῶν ἐντέρων διὰ τὴν μαλακότητα. καὶ δριμέα ὄντα τῇ φύσει καὶ δακνώδη προσκαθεζόμενα ἑλκοῖ τὰ ἔντερα καὶ συμπαθείας νευρικὰς ἐπιφέρει στρόφους τε καὶ συνολκάς· ὅθεν μετὰ πολλῆς προσοχῆς χρὴ λειοτάτην αὐτὴν ποιεῖν σὺν τῷ μελικράτῳ. πραότερον δὲ καθᾶραι βουλόμενος, λαμβάνειν δεῖ κολοκυνθίδα εὐμεγέθη καὶ ταύτην ἀνοίξαντα ἄνωθεν κενῶσαι ἅπαν τὸ σπέρμα· εἶτα τὸ γναφαλῶδες αὐτῆς βαλὼν ἐν αὐτῇ χωρὶς τοῦ σπέρματος καὶ πλήσας αὐτὴν ἑψήματος ἢ οἴνου γλυκέος παλαιοῦ ἔα βρέχεσθαι ἡμέραν καὶ νύκτα, εἶτα σειρώσας ῥάκει καὶ θερμάνας δίδου πίνειν. καθαίρει δὲ κάλλιστα καὶ ἰκτερικοὺς καὶ τοὺς περὶ τὴν ἐπιφάνειαν ἐξανθήσεις πελιδνὰς ἐσχηκότας. Τιθύμαλλον.

36 Ἄγει φλέγμα καὶ χολήν· δίδοται δὲ αὐτοῦ τὰ κλωνία χλωρὰ ληφθέντα καὶ ἐν ὀστρακίνῳ τινὶ ἐπ’ ὀλίγον φρυγέντα, εἶτα λειωθέντα. μίγνυται δὲ αὐτῶν Γ ρʹ γ σὺν ἀλφίτοις ἐν ὕδατι καὶ πίνεται· τὰ γὰρ ξηρανθέντα κλωνία ἀδυναμώτερά εἰσι. τοῦ δὲ χαρακίτου τιθυμάλλου λαβὼν τὴν ῥίζαν ξήραινε ἐν σκιᾷ, εἶτα ἐπὶ τῆς χρείας τὸν φλοιὸν ἀφελὼν καὶ κόψας καὶ σήσας στήσας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γ ρ′ δ ἔμβαλλε οἴνῳ γλυκεῖ παλαιῷ καὶ ἔα βρέχεσθαι ἡμέραν καὶ νύκτα καὶ διηθήσας διὰ ῥάκους καὶ θερμάνας βραχὺ δίδου πίνειν τὸν οἶνον· καθαίρει κάλλιστα, ὥς τινας ἐπὶ πάντων αὐτῷ κεχρῆσθαι ὡς ἀποκρύφῳ. καλῶς καὶ ἀλύπως καθαίρει καὶ ὁ ὀπὸς τοῦ τιθυμάλλου τοῦ παρὰ τὰ ὕδατα ἐν τοῖς ὑγροῖς τόποις καὶ ὕλαις φυομένου, ἀναλαμβανόμενος ἁλατίοις ἢ ἄρτῳ ξηρῷ λείῳ καὶ διδομένου ἐκ τούτου ὅσον κάρυον ποντικὸν μέγα μέντοι γε μετὰ ψυχροῦ ὕδατος. ὁ δὲ ὀπὸς τοῦ τιθυμάλλου δίδοται ὑπό τινων ἢ μετὰ ἰσχάδων ἢ μετὰ ἀλφίτων σταγόνες δ ἢε · σφόδρα δὲ ἑλκοῖ τὴν γλῶσσαν καὶ τὰ πέριξ καὶ θερμασίαν πολλὴν κατὰ κοιλίαν ἐμποιεῖ. Ἰσίου τὸν φλοιὸν ξηράνας κόψας σήσας δίδου Γ ρ′ ε ἢ ς βρέχων, ὡς προείρηται, ἐν τῷ γλυκεῖ καὶ ἀποσειρῶν· καθαίρει δὲ μᾶλλον φλέγμα· ἐφ’ ὅσον δὲ βούλει φέρεσθαι τὴν γαστέρα, μὴ ἀπόνιπτε ὕδατι τὸν δακτύλιον, ἀλλ’ ἀπόματτε ῥάκει λινῷ· ὅταν δὲ ἱκανῶς καθαρθῆναι δόξῃ, ἀπόνιπτε ὕδατι ψυχρῷ τὸν δακτύλιον καὶ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν ἐντίθει τῷ ὕδατι καὶ στήσεται ἡ φορά.

38 Ἐλατήριον καθαίρει φλέγμα καὶ χολήν. Δίδου δὲ ὀβολοὺς γ μετὰ γάλακτος εὐθυμελγοῦς ὅσον κοτύλης α . ὁ δὲ ὀβολὸς ἔχει κεράτια τρία. Κνίδιος κόκκος.

39 Καθαίρει μᾶλλον τὰ ὀρρώδη καὶ ὑδατώδη, καθαίρει δὲ καὶ χολὴν καὶ φλέγμα μετρίως. ἐστὶ δὲ πυρώδης καὶ ὀξύτατος; δίδοται δὲ ὅσον κόκκοι λ . εἰ δὲ πραότερον βούλει καθᾶραι δίδου κόκκους κ ἢ ιε · δίδου δὲ τὸ ἐντὸς τῶν κόκκων τρίψας μετὰ ἀλφίτων καὶ οἴνῳ ἐμβαλὼν κέλευε πίνειν. ἐπὶ δὲ τῇ πόσει ἐλαίου ῥοδίνου ἢ μηλίνου βραχὺ καταρροφεῖν, ὥστε μὴ καίειν τὴν φάρυγγα. βέλτιον δὲ λειώσαντα ἀναπλάττειν καταπότια σὺν μέλιτι ἑφθῷ. Ἀγαρικόν.

40 Καθαίρει φλέγμα καὶ χολὴν ἀλλ’ οὐκ ὀξέως. δίδου δὲ < β μετὰ μελικράτου ἢ ὀξυμέλιτος. ἐστὶ δὲ κακοστόμαχον διὰ τὸ κοῦρον εἶναι καὶ ἐπιπολαστικόν. Κνήκου σπέρμα.

41 Καθαίρει φλέγμα οὐ μὴν ἰσχυρῶς. λειώσας δὲ τοῦ σπέρματος < ε , ἔμβαλλε ζωμῷ ὄρνιθος ἢ πτισσάνῃ καὶ διηθήσας δίδου πίνειν. οἱ δὲ τὸ ἐντὸς τοῦ κνήκου λαβόντες ὅσον < α λειοῦσι σὺν ἀμυγδάλοις καὶ ἀνίσῳ καὶ σὺν μέλιτι ἑφθῷ καταπότια ἀναπλάσσοντες παρέχουσιν ἰκτερικοῖς ἁρμόδιον μέν, πραότερον δέ. Λαθυρίδες.

42 Καθαίρουσι μᾶλλον φλέγμα. δοτέον δὲ κόκκους ιε τῶν μειζόνων, τῶν δὲ μικροτέρων κ . καὶ τοῖς μὲν ἐνεργέστερον καθαρθῆναι δεομένοις διαμασᾶσθαι προστακτέον, τοῖς δὲ μὴ πάνυ ἐμπράκτως μηδὲ πολλῆς κενώσεως δεομένοις ὁλοσχερῆ καταπίνειν, μάλιστα εἰ κακοστόμαχος εἴη ὁ λαμβάνων. Ἀριστολοχίας τῆς κληματίτιδος ὁ καρπός.

43 Ξηρὸς λεῖος < α πλῆθος πίνεται καὶ καθαίρει φλέγμα καὶ χολήν· ἐστὶ δὲ εὐστόμαχος. Λινόζωστις.

44 Εἰ μὲν ταύτης ἀφεψήσας τῶν ἁπαλῶν φύλλων ἐσθίοις, ἐκκοπροῖ ἱκανῶς· εἰ δὲ τὸ ἀφέψημα οἴνῳ κεράσας πίνοις μετρίως ἐκκοπροῖ. Σικύου ἀγρίου τῆς ῥίζης ὁ φλοιὸς πλῆθος ὀβολῶν β τουτέστι κεράτις ς πινόμενον μετὰ μελικράτου ἄγει φλέγμα ἱκανὸν ἀλύπως μετὰ τοῦ μὴ ἀδικεῖν τὸν στόμαχον.

46 Στύραξ. Λιπαρὸς ξανθὸς δίδοται ὅσον < α πλῆθος σὺν τερεβινθίνῃ ἰσοστάθμῳ εἰς καταπότια· ἄγει γὰρ φλέγμα ἱκανὸν ἀλύπως. Θύμος.

47 Θύμου τοὺς κορύμβους κόψας σήσας δίδου μετὰ ὀξυκράτου καὶ ἁλῶν ὀλίγων, ὅσον < γ ἢ δ . καθαίρει γὰρ ἀλύπως καὶ ἱκανῶς φλέγμα καὶ χολήν. Κυκλάμινος.

48 Κυκλαμίνου ῥίζης λειοτάτης < Γ ἢ δ πρὸς δύναμιν, σὺν ὑδρομέλιτι· πινομένη καθαίρει φλέγμα καὶ χολήν· μάλιστα δὲ δι’ ἱδρώτων καθαίρει· ὅθεν πιόντα δεῖ κατακλίνεσθαι καὶ σκέπῃ θάλπειν τὸ σῶμα καὶ συνεργεῖν τῇ τῶν ἱδρώτων ἐκκρίσει. Σκόρδον.

49

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σκόρδου λειοτάτου ὅσον < β σὺν ῥοδομέλιτι πινόμενον ἄγει φλέγμα. Χαμαίπιτυς λειοτάτη γενομένη ὅσον < β μετὰ σύκων ἢ μέλιτος ἑφθοῦ ἀναληφθεῖσα εἰς καταπότια καὶ διδομένη ἄγει φλέγμα ἱκανόν.

51 Βδέλλιον τὸ ἀραβικὸν διαυγές τε καὶ ξανθὸν λεῖον πινόμενον ὅσον < β πλῆθος μεθ’ ὑδρομέλιτος καθαίρει φλέγμα. Περὶ ὑδραγωγῶν.

52 Τοῖς δὲ ὕδωρ καθαίρουσι χρηστέον ἐπί τε τῶν ὑδρωπικῶν τῶν τὸν ἀσκίτην ὕδερον νοσούντων ἐπί τε γυναικῶν ἐνοχλουμένων ὑπὸ λευκοῦ ῥοῦ χρονίως καὶ ἐπὶ τῶν ἕλκη ῥευματικὰ ἐχόντων. Λεπὶς χαλκοῦ.

53 Ὕδωρ καθαίρει, δίδοται δὲ < α c μετὰ μελικράτου· οὐ μόνον δὲ ὕδωρ ἄγει ἀλλὰ καὶ φλέγμα. ἄγει δὲ ὕδωρ καί τινα τῶν προειρημένων οἷον κόκκος κνίδιος καὶ κνῆκος. ἡ δὲ τοῦ ἀγρίου σικύου ῥίζα ἁρμοδιωτάτη τοῖς ὑδρωπικοῖς ἐστι καὶ ἀλυποτάτη. Εὐφόρβιον.

54 Ἄγει μὲν φλέγμα, μᾶλλον δὲ τὸ ὕδωρ. ἐστὶ δὲ ὀξύτατον ὧν οἶδα καὶ πυρωδέστατον, ὅθεν καὶ κωλικοῖς δίδοται καὶ τοῖς ψυχροτέρας ἔχουσι τὰς κοιλίας· τοῖς δὲ ἄλλοις ταρακτικόν ἐστιν ἰσχυρῶς καὶ διψωδέστατον. μίσγε δὲ αὐτῷ τινα τῶν εὐωδῶν σπερμάτων, διδοὺς αὐτοῦ ὅσον τριώβολον σὺν μελικράτῳ. βέλτιον δὲ σὺν ἑφθῷ μέλιτι εἰς καταπότια αὐτὸ ἀναπλάττειν. Χαμελαία. [5]

55 Καθεψηθεῖσα ἐν μελικράτῳ καὶ πινομένη ὑδατώδη μᾶλλον καθαίρει· καθαίρει δὲ καὶ φλέγμα καὶ χολήν. ἐμβαλλέσθω δὲ αὐτῆς ὅσον < ε εἰς δύο κοτύλας ὕδατος καὶ ἑψήσθω ἕως λειφθῇ τὸ τέταρτον· ἐπὶ τέλει δὲ τῆς ἑψήσεως ἐπίβαλλε μέλιτος τὸ σύμμετρον καὶ βραχὺ ἑψήσας καὶ διηθήσας δίδου πίνειν. ἔνιοι δὲ κόψαντες λεῖαν τὴν χαμελαίαν καὶ βαλόντες αὐτῆς μὲν < α , ἀψινθίου δὲ κόμης τὸ διπλάσιον, ἀναλαβόντες μέλιτι ἑφθῷ καταπότια διδόασιν. Αἵματος καθαρτικά. [5]

56 Τὸ δὲ αἷμα καθαίρει πράσων κεφαλωτῶν ὁ χυλὸς λινόζωστις λευκόϊον μαλάχη ἀγρία ἐλελίσφακον. Μέθοδος συνθέσεως τῶν καθαιρόντων φαρμάκων.

57 Καὶ τὰ μὲν κατ’ ἰδίαν καθαίρειν δυνάμενα ἁπλᾶ φάρμακα, ὡς τύπῳ φάναι, τοιαῦτά τινά ἐστι τὰ προγεγραμμένα. οὐ χαλεπὸν δὲ καὶ τὰς μίξεις αὐτῶν ποιεῖσθαι τοῖς ἤδη ἐκ τῶν προρρηθέντων μεμαθηκόσι τὴν ἑκάστου δύναμιν. δεῖ γὰρ εἰ μέν τις τῶν εἰρημένων δύο ἐθέλοι μιγνύναι, τὸν ἥμισυν σταθμὸν τῆς δόσεως ἑκάστου παραλαμβάνειν, εἰ δὲ τρία τὸν τρίτον, εἰ δὲ πλείω ἀνάλογον. ποιούμεθα δὲ τὰς μίξεις αὐτῶν, ὅταν μὴ ἓν τὸ ἐνοχλοῦν τύχοι, οἷον φλέγμα ἢ χολὴ ἢ ὕδωρ, ἀλλὰ πάντα ἅμα. καὶ εἰ μὲν δόξομεν ὁμοτίμως πλεονάζειν τοὺς χυμούς, ἐξίσης αὐτὰ ἐμβάλλομεν ἐν τῇ σκευασίᾳ. ἑνὸς δὲ χυμοῦ μᾶλλον τῶν ἄλλων πλεονεκτοῦντος, πλέον ἐμβάλλομεν τῶν δυναμένων τὸν τοιοῦτον χυμὸν κενοῦν. πρῶτον μὲν βούλομαι τὰ ἐν τροφῇ μαλακτικὰ φάρμακα γαστρὸς ὑπαγωγὰ ὑποθέσθαι. “ἐν τροφῇ γὰρ φαρμακείη ἄριστον”, φησὶν Ἱπποκράτης, ἵνα καὶ τοῖς ὑγιαίνουσι μὲν ἐστεγνωμένοις δὲ φυσικῶς τὴν γαστέρα χρήσιμος ἡ θεωρία γενήσεται. τάχα δὲ καὶ τοῖς ἐκ νόσου ἀνακομιζομένοις, ἔτι δὲ καὶ τοῖς χρονίαν νόσον νοσοῦσιν, ἀρωγὰ ταυτὶ τὰ φάρμακα γενήσεται πανταχοῦ ἐν ταῖς καρυκείαις μισγόμενα ἕν που ἢ β τῶν ἁπλῶν φαρμάκων, ἤτοι εἰς τὸ μαλάξαι τὴν γαστέρα ἢ καὶ τὸν πλεονάζοντα χυμὸν κατ’ ὀλίγον λεληθότως ἐκκενοῦν βουλόμενοι· ἀρξώμεθα τοιγαροῦν ἀπὸ τῶν προπομάτων. Ἐκ τῶν Θέωνος· οἴνου καθαρτικοῦ χολῆς σκευασία. [20]

58 Κασσίας ℥ α , σκαμμωνίας ℥ α οἴνου ξ ε ε , ταῦτα λειότατα γενόμενα ἐμβαλλέσθω ὀθονίῳ καὶ ἀκριβῶς περισφιγχθὲν τὸ ῥάκος ἀποκρεμάσθω εἰς τὸν οἶνον καὶ ἐάσθω βρέχεσθαι ἡμέρας ε , εἶτα ἐκ τοῦ οἴνου τούτου δίδου πρὸ τροφῆς κρᾶσιν τελείαν σὺν ὕδατι θερμῷ· πεπίστευται χολὴν καθαίρειν. Φλέγματος ἀγωγόν. [5]

59

Λαθυρίδων κεκαθαρμένων 𐅻 α ναρδοστάχυος 𐅻 Γ οἴνου ξ/ε , σκεύαζε, ὡς προείρηται, καὶ χρῶ. πεπίστευται τοὺς φλεγματικοὺς κουφίζειν. Μελαγχολικοῖς.

60 Λαβὼν πολυποδίου 𐅻 α κόψας σήσας ἐνδήσας εἰς ὀθόνιον ἀποκρέμασον εἰς οἴνου ξ/ε καὶ ἔα ἡμέρας ζ βρέχεσθαι καὶ δίδου κρᾶσιν, ὡς εἴρηται. Ἄλλος οἶνος πολυποποδίτης.

61 Οἴνου γλυκυτάτου < ϛ μαστίχης 𐅻 α ἐπιθύμου < δ πολυποδίου ῥιζῶν μὴ παλαιῶν ἐξυσμένων λʹβ · τὰς ῥίζας τοῦ πολυποδίου κεκαθαρμένας κόπτων ἁδρομερῶς ἕψε μετὰ τοῦ γλυκέος, ἐπιβάλλων καὶ τὸ ἐπίθυμον καὶ τὴν μαστίχην· ὅταν δὲ ἀποτριτωθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ψυγῆναι καὶ διηθήσας ἐπίπασσε ναρδοστάχυος κεκομμένου καὶ σεσησμένου Γ ρʹ γ . βέλτιον δὲ ἐν θυίᾳ αὐτὸ ἑνῶσαι, εἶτα ἀναλάμβανε ἐν ὀστρακίνοις ἀγγείοις μικροῖς πεπισσωμένοις καὶ χρίσας τὸ στόμα φύλαττε. δίδου δὲ ἐν τῷ ἀρίστῳ κρᾶσιν μεγάλην μεσαζόντων τῶν σιτίων κεράσας θερμῷ· ἐστὶ δὲ ἡδύτατον καὶ ἐνεργὲς τοῦτο ἐν Βύβλῳ τῆς Φοινίκης σκευαζόμενον. εὐδοκιμεῖ πανταχῆ πλωιζομένοις. Οἰνόμελι ἐκκοπρωτικόν. [10]

62 Οἴνου ξ/ε μέλιτος ξ/α μαστίχης 𐅻 γ . λειώσας τὴν μαστίχην καὶ ἐνδήσας ὀθόνῃ ἀποκρέμασον ἐν τῷ οἰνομέλιτι καὶ ἔα βρέχεσθαι ἡμέρας ζ καὶ δίδου πρὸ τροφῆς κρᾶσιν μίαν κεκραμμένην θερμῷ. ἐστὶ δὲ ἐκκοπρωτικὸν κάλλιστον καὶ εὐστόμαχον, κενοῖ δὲ καὶ φλέγμα. Οἰνόμελι ξανθῆς χολῆς ἀγωγόν. [5]

63 Σκαμμωνίας 𐅻 α ναρδοστάχυος < α κόψας σήσας ἐνδήσας ὀθόνῃ βρέχε εἰς οἴνου ξ/ε καὶ μέλιτος ξ/α καὶ χρῶ. Οἰνόμελι φλέγματος ἀγωγόν.

64 Λαβὼν κνήκου σπέρματος κεκαθαρμένου 𐅻 δ καὶ οἴνου ξ/ε καὶ μέλιτος ξ/α , κόψας ἁδρομερῶς τὸν κνῆκον καὶ ἐνδήσας ὀθόνῃ ἀπόβρεχε καὶ χρῶ, ὡς προείρηται. Οἰνόμελι χολὴν μέλαιναν κενοῦν.

65 Πολυποδίου < γ οἴνου ξ/ε μέλιτος < α κόψας σήσας ἀπόβρεχε καὶ χρῶ. Κονδίτον ξανθοχόλοις.

66 Πεπέρεως < γ σκαμμωνίας 𐅻 α σελίνου σπέρματος < α οἴνου ξ/ε μέλιτος ξ/α · προλεάνας τὰ εἴδη καθ’ ἑαυτὰ ἔπειτα καὶ σὺν τῷ μέλιτι, εἶτα τὸν οἶνον ἐπιβαλὼν ἔα ἡμέρας ε καὶ χρῶ. Κονδίτον φλεγματικοῖς.

67 Λαθυρίδων 𐅻 α πεπέρεως 𐅻 α ἀνίσου σελίνου σπέρματος ἀνὰ 𐅻 α οἴνου ξ/ε μέλιτος ξ/α , σκεύαζε, ὡς προείρηται, καὶ χρῶ. Κονδίτον μελαγχολικοῖς.

68 Πολυποδίου 𐅻 α πεπέρεως 𐅻 α σελίνου σπέρματος < α οἴνου ξ/ε μέλιτος ξ/α , σκεύαζε, ὡς προείρηται, 〈καὶ χρῶ〉 . Ἀψινθάτου σκευασία πνευμάτων καὶ κόπρου κενωτικοῦ.

69 Λιβυστικοῦ 𐅻 ας κυμίνου < α ναρδοστάχυος Γ ρʹ β σχίνου ἄνθους Γ ρʹ ϛ μαστίχης Γ ρʹ ϛ οἴνου ξ/ε μέλιτος ξ/α , κόψας σήσας λείου μετὰ τοῦ μέλιτος καὶ ἑνώσας τὸν οἶνον ἀναλάμβανε καὶ χρῶ μετὰ ἡμέρας ε πρὸ ἀρίστου. Ἀψινθάτον χολῆς ξανθῆς ἀγωγὸν πικρόν. [5]

70 Κόστου < δ μαστίχης < δ ῥόδων ξηρῶν < β ναρδοστάχυος < β σχίνου ἄνθους < α ἀλόης 𐅻 α σκαμμωνίας 𐅻 α μέλιτος ξ/α οἴνου ξ/ε , σκεύαζε καὶ χρῶ, ὡς προείρηται. Ἀψινθάτον φλεγματικοῖς.

71 Μαστίχης < δ κόστου < δ φύλλου < α ναρδοστάχυος < α σχίνου ἄνθους < α κασσίας < α πολυποδίου 𐅻 α μέλιτος ξ/α λαθυρίδων κεκαθαρμένων 𐅻 α οἴνου ξ/ε μέλιτος < α , σκεύαζε καὶ χρῶ, ὥσπερ προείρηται. Ἀψινθάτον μελαγχολικοῖς.

72 Μαστίχης < δ κόστου < δ ναρδοστάχυος φύλλου ἀνὰ < α κασσίας < α πολυποδίου 𐅻 α μέλιτος ξ/α οἴνου ξ/ε . Ῥοσάτον ξανθῆς χολῆς ἀγωγόν.

73 Ῥόδων ἐξωνυχισμένων νεαρῶν λʹ α οἴνου παλαιοῦ ξ/ϛ μέλιτος ξ/α . τὰ ῥόδα προμαρανθέντα ἡμέραν α ἐμβάλλεται εἰς τὸν οἶνον καὶ βρέχεται ἡμέρας θ , εἶτα διηθεῖται ὁ οἶνος καὶ ἐπιβάλλεται τῷ μέλιτι προλειωθέντι μετὰ σκαμμωνίας 𐅻 α . χρὴ δὲ κόπτειν καὶ σήθειν τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκαμμωνίαν καὶ οὕτως λειοῦν σὺν τῷ μέλιτι. ἀναλαβὼν δὲ εἰς ἀγγεῖον καὶ πωμάσας ἀκριβῶς ἀποκρέμασον εἰς λάκκον ψυχροῦ ὕδατος καὶ ἔα ἡμέρας ζ ἢ θ , εἶτα ἀνασπάσας ἔα ἄλλας λ ἡμέρας καὶ οὕτως προπώματι χρῶ. Ῥοσάτον φλέγματος καὶ ὀρρώδους καὶ μελαγχολικοῦ χυμοῦ κενωτικόν.

74 εἰ μέντοι προσλάβοι κόκκου κνιδίου ℥ α , ἡ προειρημένη γραφὴ ἄνευ τῆς σκαμμωνίας κενοῖ τὸν ὀρρώδη χυμὸν καὶ φλέγμα· εἰ δὲ λαθυρίδα μόνην φλέγμα κενοῖ· εἰ δ’ ἐπίθυμον μόνον τὸν μελαγχολικὸν χυμὸν κενοῖ. Ῥοδομέλιτος καθαρτικοῦ σκευασία.

75 Μέλιτος λι τρ′ α ῥόδων χυλοῦ λι τρ′ α μαστίχης < δ πεπέρεως < β ζιγγιβέρεως < β σκαμμωνίας < η · ἕψε τὸ ῥοδόμελι ἕως σύστασιν λάβοι μέλιτος ὑγροτέρου, εἶτα ἐπίπασσε τὴν σκαμμωνίαν καὶ τὴν μαστίχην λειοτάτην ποιήσας καὶ ἕψε ἐπ’ ὀλίγον, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἕνωσον τοῖς λοιποῖς ἐν τῇ θυίᾳ καὶ ἀναλάμβανε καὶ δίδου κοχλιάριον· κενοῖ ξανθὴν χολήν. τινὲς δὲ ἁπλουστέραν τὴν σκευασίαν ποιῆσαι βουλόμενοι, προβρέξαντες ὀλίγῳ ὕδατι τὴν σκαμμωνίαν, εἶτα ζέσαντες καὶ τὸν ἐπίπαγον αὐτῆς ἀφαιροῦντες διηθοῦσι καὶ λειοποιήσαντες ἐπιβάλλουσι τῷ ῥοδομέλιτι καὶ συνεψοῦσιν, ὡς προείρηται. εἰ μέντοι λαθυρίδων ℥ α ἡ προειρημένη σκευασία τοῦ ῥοδομέλιτος λάβοι χωρὶς τῆς σκαμμωνίας καθαίρει φλέγμα· εἰ δὲ πολυποδίου λάβοι ℥ α τὸν μελαγχολικὸν χυμὸν κενοῖ· δραστικώτερον δὲ γίγνεται, ἐὰν ἀντὶ τοῦ πολυποδίου ἐπίθυμον λάβοι. Ὄξους καθαρτικοῦ σκευασία.

76 Σκαμμωνίας ℥ α ὄξους ξ/ε λείου ἅμα καὶ ἔα ἡμέρας ε καὶ δίδου εἰς ἔμβαμμα σὺν τῇ τροφῇ κοχλιάριον α ἢβ · καθαίρει χολὴν ξανθήν. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας ἐμβάλοις λαθυρίδων ℥ α , καθαίρει φλέγμα· εἰ δὲ ἐπιθύμου ℥ ε ἐμβάλοις κενοῖ τὸν μελαγχολικὸν χυμόν. Ὀξυμέλιτος καθαρτικοῦ σκευασία.

77 Μέλιτος ἀπηφρισμένου ξ/α , ὄξους δριμυτάτου ξ/α ἕψε ἅμα μέχρι μελιτώδους συστάσεως, εἶτα ἐπιβαλὼν ἐπιπέτρου κεκομμένου καὶ σεσησμένου ℥ α χρῶ ἐμβάμματι ἢ μεθ’ ὕδατος δίδου πίνειν κοχλιάρια β περὶ ὥραν τρίτην νήστει· χολὴν κενοῖ. εἰ δὲ μὴ παρείη ἐπίπετρον, σκαμμωνίας ἔμβαλλε ℥ α . ἄλλο ὀξύμελι· μέλιτος ἀπηφρισμένου ξ/α ὄξους ξ/α ἕψε ἅμα μέχρι συστάσεως, εἶτα ἐπίβαλλε κνήκου τὸ ἐντὸς κεκαθαρμένου καὶ λελειωμένου ℥ α καὶ ἔα ἡμέρας ε καὶ χρῶ, ὡς βούλει· κενοῖ φλέγμα. ἄλλο. μέλιτος καὶ ὄξους ἀνὰ ξ/α ἕψε καὶ ἐπίβαλλε ἐπιθύμου λειοτάτου ξ/α καὶ ἔα ἡμέρας ε καὶ χρῶ· κενοῖ τὸν μελαγχολικὸν χυμόν. τὰ δὲ ἐμβαλλόμενα πάντα ταῖς προειρημέναις σκευασίαις τοῦ ὀξυμέλιτος ἐν ὀθονίῳ ἀποδεθέντα ἀποβρεχέσθω. ἄλλως· πνεύματος κενωτικόν. ὄξους ξ/α μέλιτος ξ/α ἀρκευθίδων < δ πεπέρεως ℥ α ζιγγιβέρεως ℥ α πετροσελίνου < δ σελίνου σπέρματος ἄμεως λιβυστικοῦ ἀνίσου ἐπιθύμου ἀνὰ < δ κυμίνου < β ἀνήθου σπέρματος < β πολυποδίου ℥ α , σκεύαζε καὶ χρῶ, ὡς προείρηται· ἁρμόδιον κωλικοῖς. Ἄλλο ὀξύμελι.

78 Ὀξύμελι καθαῖρον πᾶσαν κακοχυμίαν. Ὑσσώπου κόμης ℥ α c ὀριγάνου ℥ α γλήχωνος ℥ α c πρασίου ℥ α ἐπιθύμου ℥ α κνήκου σπέρματος ℥ α θύμου κορύμβων ℥ α ἀγαρικοῦ ℥ α πολυποδίου ℥ β σκαμμωνίας ℥ α καὶ Γ ρ′ ϛ ὄξους ξ/α c ὕδατος ξ/α μέλιτος λι τρ′ β ἑψήματος ℥ ϛ . προβρέξας τὰς βοτάνας τῷ ὄξει καὶ τῷ ὕδατι ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι καὶ πάλιν ἕψε εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι καὶ πάλιν ἕψε μέχρι καλῆς συστάσεως καὶ λεάνας, ἕνωσον ἐν τῇ θυίᾳ λειότατα γενόμενα καὶ σεσησμένα λεπτοτάτῳ κοσκίνῳ σκαμμωνίαν ἐπίθυμον ἀγαρικὸν καὶ δίδου, συμμέτρως μὲν καθᾶραι βουλόμενος, Γ ρ′ ιε , μέσως δὲ Γ ρ′ κ , τὴν δὲ τελείαν δόσιν τοῖς ἰσχυροῖς ℥ α · τινὲς δὲ καὶ ἀλυπιάδος βάλλουσιν ℥ α . Ὀξύμελι κωλικοῖς ἐνιέμενον καὶ νεφριτικοῖς.

79 Κενταυρίου ℥ α ἀλυπιάδος νεαρᾶς ℥ β πηγάνου χλωροῦ ℥ β πρασίου ἀγαρικοῦ κασσίας ἴρεως ὑσσώπου γλήχωνος ἀνὰ < δ σκίλλης ℥ α ὄξους ξ/γ μέλιτος ℥ α · προβρέξας πάντα τῷ ὄξει ἕψε εἰς

ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι καὶ ἕψε μέχρι συστάσεως μέλιτος ὑγροτέρου· ἔπειτα ἐπίπασσε σκαμμωνίας λειοτάτης 𐅻 α ναρδοστάχυος 𐅻 α καὶ τοῦ διὰ μαράθρων καθαρτικοῦ 𐅻 α καὶ ἑνώσας χρῶ. οὕτως προκενώσας τὸν κωλικευόμενον ἐκκοπρωτικῷ κλυστῆρι, ἔπειτα λαβὼν τοῦ ὀξυμέλιτος κοχλιάριον ἕν, ἀνάλυε μετὰ χυλοῦ πτισσάνης καὶ ἔνιε· χρῶ δὲ ὁμοίως καὶ ἐπὶ νεφριτικῶν τῶν φλεγματικωτέρων. κενοῖ φλέγμα ἀλύπως καὶ ὑγιάζει. Ὀξύμελι πικρόν. [10]

80 Μαράθρου χλωροῦ μετὰ τῶν ῥιζῶν δεσμίδιον α σελίνου μετὰ τῶν ῥιζῶν δεσμίδιον α πηγάνου χλωροῦ δεσμίδιον α ὄξους ξ/β c, τουτέστι λίτρας ε μέλιτος λι τ′ α c· ἕψε τὰς βοτάνας σὺν τῷ ὄξει εἰς ἀποτρίτωσιν καὶ διηθήσας ἐπίβαλλε τῷ ὄξει τὸ μέλι καὶ ἕψε μέχρι μέλιτος ὑγροτέρου λάβῃ σύστασιν· ἔπειτα λεάνας ἐν θυίᾳ ἁλόης πρωτείας 𐅻 γ καὶ σήσας ἐπίβαλλε αὐτῇ κατὰ βραχὺ τοῦ ὀξυμέλιτος καὶ ἑνώσας ἀναλάμβανε καὶ χρῶ παρέχων κοχλιάριονα · ἐπιρροφείτω δὲ ὕδωρ θερμόν· καθαίρει κεφαλὴν ἄκρως· ἐστὶ δὲ καὶ εὐστόμαχον. Ὀξύμελι μαλακτικὸν τοῦ προσομιλήτου. γλήχωνος ὀριγάνου θύμβρας ἀγρίας πολυποδίου ἀνὰ 𐅻 α σελίνου ῥιζῶν < δ ἀνήθου ῥιζῶν Γ ρ′ ς ἀγαρικοῦ ἐπιθύμου σκαμμωνίας ἀνὰ 𐅻 α μέλιτος ξ/ε α ὄξους ξ/εα · βρέχε τὰ εἴδη καὶ ἕψε ὡς τὸ ὀξύμελι· ὅταν δὲ λάβῃ καλὴν σύστασιν, ἄρας ἀπὸ τοῦ πυρὸς πρόσπλεκε αὐτῷ σκαμμωνίαν ἐπίθυμον ἀγαρικὸν καὶ δίδου 𐅻 Γ μεθ’ ὕδατος θερμοῦ. Φοῦσκα μαλακτικὴ κοιλίας. [10]

81 Κυμίνου 𐅻 γ ὑσσώπου 𐅻 α c ἄμεως 𐅻 α c γλήχωνος 𐅻 α c πετροσελίνου < δ θύμου κορύμβων < δ ζιγγιβέρεως 𐅻 α κνήκου σπέρματος 𐅻 α πεπέρεως < δ ἐπιθύμου < δ ἁλῶν Καππαδοκικῶν 𐅻 θ κόψας σήσας φύλαττε ξηρὸν καὶ ἐπὶ τῆς χρείας δίδου κοχλιάριον συγκεράσας ὀξυκράτῳ. Ἄλλη πάνυ δόκιμος. [5]

82 Κυμίνου 𐅻 γ μαράθρου 𐅻 β γλήχωνος 𐅻 β c σελίνου σπέρματος 𐅻 β ἀνίσου 𐅻 β Γ ρ′ η σκαμμωνίας 𐅻 δ ἐπιθύμου 𐅻 γ ἁλῶν κοινῶν 𐅻 η ἢ λι′α · κόψας σήσας δίδου κοχλιάριον α σὺν ὀξυκράτῳ· καθαίρει ἀδιαστρόφως. Γάρου καθαρτικοῦ σκευασία.

83 Σκαμμωνίας < δ πεπέρεως κόκκοι ν γάρου μέλανος 𐅻 γ μίξας, χρῶ ἐμβάμματι ἢ ὡς βούλει, καθαίρει χολήν. Ἄλλο.

83bis Κνήκου κόκκοι π πεπέρεως κόκκοι ν γάρου 𐅻 γ · τὸ ἐντὸς τοῦ κνήκου λεάνας ἑνώσας χρῶ· καθαίρει φλέγμα· εἰ δὲ ἀντὶ τοῦ κνήκου λαθυρίδας ἐμβάλοις δραστικώτερον ποιήσεις· εἰ δὲ πολυποδίου < δ ἐμβάλοις μελαγχολικὸν χυμὸν κενοῖ. δραστικώτερον δὲ γίγνεται εἰ ἀντὶ τοῦ πολυποδίου ἐπιθύμου < β ἐμβάλοις ἢ γ . Μέλιτος μαλακτικοῦ σκευασία. [5]

84 Μαράθρου χλωροῦ δεσμίδιον χειροπληθὲς ὕδατος ξ/εγ · ἕψε ἕως λειφθῇ ξ/ε α καὶ διηθήσας ἐπίβαλλε μέλιτος λι τρ′ α , καὶ ἕψε ἕως μελιτώδους συστάσεως καὶ δίδου κοχλιάριαγ · καθαίρει χολὴν ξανθήν· εἰ δὲ ἀντὶ τοῦ μαράθρου κνήκου σπέρματος τοῦ ἐντὸς ἐμβάλοις 𐅻 α καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου ἢ ἐπιθύμου 𐅻 α συνεψήσεις, καθαίρει τὸν μελαγχολικὸν χυμόν. Ὑδρόγαρον καθαρτικόν. [5]

85 Γάρου 𐅻 α πεπέρεως κόκκοι ν σελίνου σπέρματος ὀβολὸν α , ὅ ἐστι κεράτια γ , μέλιτος κοχλιάριον α σκαμμωνίας Γ ρ′ α c ἢβ · ἑψήσας τὰ λοιπὰ καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἕνωσον τὴν σκαμμωνίαν καὶ δίδου πρὸ τροφῆς. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας κνήκου σπέρματος κόκκους κ τὸ ἐντὸς ἐμβάλοις καθαίρει φλέγμα· εἰ δὲ πολυποδίου < δ ἐμβάλοις καθαίρει τὸν μελαγχολικὸν χυμόν. Οἰνόγαρον καθαρτικόν. [5]

86 Γάρου μυάκια β οἴνου μυάκιον α πεπέρεως κόκκοι ν λιβυστικοῦ Γ ρ′ α σκαμμωνίας Γ ρ′ α μέλιτος βραχὺ χρῶ· καθαίρει χολήν. εἰ δὲ κνήκου κόκκων κ τὸ ἐντὸς ἐμβάλοις ἀντὶ τῆς σκαμμωνίας καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου < δ καθαίρει τὸν μελαγχολικὸν χυμόν. Ὀξύγαρον καθαρτικόν. [5]

87 Σελίνου σπέρματος ⋖ α πεπέρεως κόκκοι ν κυμίνου ὀβολὸς α ὀποῦ κυρηναικοῦ τὸ ἶσον, σκαμμωνίας Γ ρ′ α γάρου ℥ γ ὄξους ℥ γ χρῶ· καθαίρει χολήν. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας κνήκου κόκκων κ τὸ ἐντὸς ἐμβάλοις καθαίρει φλέγμα· εἰ δὲ πολυποδίου ⋖ δ τὸν μελαγχολικὸν χυμὸν κενοῖ. Ζωμοὶ μαλακτικοί. [5]

88 Ὕδατος ξ/ε′ α ἐλαίου μυάκιον α γάρου βραχὺ ἁλὸς σύμμετρον ἀνήθου βραχὺ ἕψε ἕως χυλοποιηθῇ τὰ πάντα· εἶτα ἔμβαλλε κνήκου κόκκων ν τὸ ἐντὸς καὶ δίδου· κενοῖ φλέγμα· εἰ δὲ πολυποδίου ⋖ δ κόψας σήσας ἐπιπάττοις ζωμῷ πέρδικος ἢ φασιανοῦ κενοῖ τὸν μελαγχολικὸν χυμόν. τὴν μέντοι σκαμμωνίαν οὐκ ἐδικαίωσα ἐμβάλλειν ἐν τοῖς ζωμοῖς διὰ τὸ τῇ πείρᾳ βασανισθεῖσαν ἀκατάλληλον εὑρεθῆναι. Γάλα καθαρτικόν. [5]

89 Ὀνείου ἢ αἰγείου γάλακτος κ ου α σκαμμωνίας Γ ρ′ β ἑνώσας δίδου· κενοῖ χολήν. εἰ δὲ κνήκου κόκκων κ τὸ ἐντὸς ἐμβάλοις κενοῖ φλέγμα. τὸ μέντοι πολυπόδιον ἢ ἐπίθυμον οὐκ ἐδικαίωσα βάλλειν εἰς τὸ γάλα διὰ τὸ χρώννυσθαι τὸ γάλα καὶ μὴ λανθάνειν τὸν λαμβάνοντα· πολλοὶ γὰρ διὰ δειλίαν οὐ βούλονται καθαίρεσθαι. Ἐλαῖαι καθαρτικαί. [5]

90 Πεπέρεως ⋖ α ἐπιθύμου ⋖ β σιλφίου ⋖ α ἡδυόσμου χλωροῦ ⋖ α γλήχωνος κόμης ⋖ α κυμίνου ⋖ α πηγάνου ⋖ α σκαμμωνίας ⋖ η φοινίκων λιπαρῶν ℥ β μέλιτος ξ/ε α ὄξους ξ/ε c ἐλαίας ἀπὸ ἅλμης ρκα ἀριθμῷ. λειότατα πάντα τὰ προειρημένα ποιήσας κατ’ ἰδίαν καὶ μετὰ τοῦ ὀξυμέλιτος, ἔπειτα ἀμυχὰς βαλὼν ἑκάστῃ ἐλαίᾳ γ ἔμβαλλε τῇ σκευασίᾳ καὶ ἐάσας ἡμέρας ὀλίγας χρῶ, διδοὺς ἐν τροφῇ ἐλαίας γ καὶ τοῦ ζωμοῦ κοχλιάριον α ἢ καὶ δύο πρὸς δύναμιν. Ὀξυπόρια καθαρτικά. [5]

91 Τῷ διὰ τῶν κυδωνίων μήλων συνήθως σκευαζομένῳ πεπτικῷ φαρμάκῳ ὅσον ἑνὶ κοχλιαρίῳ προσπλέκων σκαμμωνίας Γ ρ′ β τὴν ξανθὴν χολὴν κενώσεις ἀλύπως. εἰ δὲ λαθυρίδων κόκκους κ ἐμβάλοις κενοῖ φλέγμα. εἰ δὲ πολυποδίου ⋖ δ ἢ ἐπιθύμου λειοτάτου ⋖ δ ἐμβάλοις κενοῖ τὸν μελαγχολικὸν χυμόν· ὁμοίως καὶ τῷ διοσπολιτικῷ πεπτικῷ φαρμάκῳ χρώμενος, τὸ αὐτὸ ἐργάσῃ καὶ μάλιστα ἐφ’ ὧν φλέγμα ἐν τῷ θώρακι ἀπόκειται. εἰ δὲ τῷ διὰ καλαμίνθης πεπτικῷ φαρμάκῳ προσπλέκοις τὰ καθαίροντα, κενώσεις πᾶσαν τὴν περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος κακοχυμίαν, οἷον ψώρας λειχῆνας καὶ τὰ ὅμοια. Ὀξυπόριον διὰ φοινίκων. [10]

92 Ζιγγιβέρεως πεπέρεως κυμίνου πετροσελίνου ἀνὰ ℥ α σκαμμωνίας ὀπτηθείσης ἐν ζύμῃ καὶ λελειωμένης λεπτοτάτως ℥ β c φοινίκων λιπαρῶν σαρκὸς ℥ δ πηγάνου φύλλων ℥ α μέλιτος λι τ′ γ ὄξους ξ/ε′α · ἕψε πρῶτον τὸ μέλι καὶ τὸ ὄξος καὶ τοὺς φοίνικας ἕως τὸ τρίτον τοῦ ὄξους λειφθῇ, εἶτα λείου τὸ πήγανον μετὰ τοῦ λειψάνου τῶν φοινίκων καὶ ἐπιπάσας τὰ ξηρὰ λειότατα γενόμενα καὶ ἑνώσας ἐπίβαλλε κατὰ βραχὺ τὸ ἑψηθὲν ὀξύμελι καὶ ἑνώσας χρῶ ὡς θαυμασίῳ καὶ διὰ πολλῆς πείρας φαρμάκῳ. ἡ δὲ τελεία δόσις κοχλιάρια β τοῖς στεγνοκοιλίοις, ἀκμαίου ὄντος τοῦ φαρμάκου. εἰ δὲ μὴ πάνυ εἶεν ἐστεγνωμένοι κατὰ τὸ μέτρον τῆς ὑποβάσεως καὶ τοῦ φαρμάκου δοτέον ποτὲ μὲν κοχλιάριον α c ποτὲ δὲ κοχλιάριον α μόνον· ὑπάγει ξανθὴν χολὴν ἄκρως. διὸ καὶ ἰκτερικοῖς δίδοται ἐπωφελῶς καὶ τριταΐζουσιν, ὅταν πέψις χρηστὴ ἐν τοῖς οὔροις φανῇ. καὶ φλέγμα δὲ κενοῖ μετρίως. χρῶ δὲ θαρρῶν ἐν παντὶ καιρῷ ὡς ἀδιαστρόφῳ καὶ ἀπεριέργῳ. ἐγὼ δὲ καὶ τοῖς χωρὶς ῥίγους πυρέττουσιν ἔδωκα μετὰ τὸ πέψιν φανῆναι ἐν τοῖς οὔροις καὶ παραχρῆμα ἰάσατο. ἐφ’ ὧν μελαγχολικὸν βούλει καθᾶραι πρόσπλεκε τῇ δόσει ἐπιθύμου Γ ρ′ γ ἢ πρὸς δύναμιν. εἰ δὲ φλέγμα πολὺ ἐπίκειται ἐπίβαλλε καὶ ἀγαρικοῦ ἤτοι ἰσίου Γ ρ′α · κενοῖ γὰρ μετρίως φλέγμα καὶ τὸ πέπερι πήγανον κύμινον. Καθαρτικὸν διὰ μήλων κυδωνίων. [20]

93 Μήλων κυδωνίων πεπείρων εὐμεγέθων εὐωδεστάτων ζύμῃ περιπλασθέντων καὶ ὀπτηθέντων τῆς σαρκὸς κεκαθαρμένης ℥ δ μέλιτος ἀπηφρισμένου ℥ ε πεπέρεως ⋖ β ζιγγιβέρεως ⋖ β

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκαμμωνίας < ς , ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἑνώσας δίδου κοχλιάριον α . Καθαρτικὸν διὰ κιτρίου.

94 Ὀριβασίου. Κενοῖ κεφαλήν, ποιεῖ στομαχικοῖς κοιλιακοῖς καὶ τοῖς μὴ δυναμένοις ἰσχυρὸν λαβεῖν καθαρτήριον δι᾽ ἀτονίαν, ὅθεν καὶ παιδίοις δίδοται ἀβλαβῶς· ἐστὶ γὰρ εὐστόμαχον. κιτρίου τοῦ λέπους καὶ τῆς σαρκὸς λι τρ′ α ὕδατος ξ/ε α c μέλιτος ξ/ε c πεπέρεως ϝ α σκαμμωνίας ϝ α . τὸ κίτριον τεμὼν εἰς λεπτά, ἕψε μετὰ τοῦ ὕδατος ἕως λειφθῇ τοῦ ὕδατος ξ/ε τὸ c. εἶτα διηθήσας ἐπίβαλλε τῷ ἀφεψήματι τὸ μέλι καὶ ἕψε μέχρι καλῆς συστάσεως καὶ λεάνας τὸ λείψανον τῶν ἑψηθέντων κιτρίων ἐπίπασσε αὐτοῖς τὰ ξηρὰ λειότατα καὶ συλλεάνας ἐπίβαλλε τὸ ἑψηθὲν ὑδρομέλιτι καὶ ἑνώσας χρῶ, διδοὺς κοχλιάριον. Καθαρτικὸν διὰ μαράθρου σφόδρα καλόν.

95 Ἐπιθύμου ζιγγιβέρεως πεπέρεως σκαμμωνίας ἀνὰ ϝ α μαράθρου χλωροῦ πηγάνου χλωροῦ σελίνου ῥιζῶν χλωρῶν ἀνὰ ϝ γ ὕδατος ξ/ε γ μέλιτος λι τρ′γ · τῷ ἀφεψήματι τριτωθέντι ἐπιβαλὼν τὸ μέλι, ἕψε μέχρι καλῆς συστάσεως, εἶτα ἐπίπασσε τὰ ξηρὰ καὶ δίδου κοχλιάριον α μέγα. Ἄλλο πάνυ εὐστόμαχον.

96 Μαράθρου κυμίνου γλήχωνος σελίνου ἑκάστου χειροπληθὲς ὕδατος ξ/ε γ , ἕψε μέχρι λειφθῇ ξ/ε α καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι ἶσον, καὶ ἕψε μέχρι μελιτώδους συστάσεως καὶ ἐπίπασσε ἐν θυίᾳ σκαμμωνίας λειοτάτης ϝ α πεπέρεως ϝ α c μαστίχης λείας ϝ δ καὶ ἑνώσας δίδου κοχλιάριονα · ἁρμόζει τοῖς φυσώδεσι. Διὰ μαράθρου σκευαζόμενον συνήθως τοῖς μελαγχολικοῖς.

97 Σκαμμωνίας ϝ β ζιγγιβέρεως ϝ α πεπέρεως ϝ α πετροσελίνου Γ ρ′ ιβ ἐλλεβόρου μέλανος φλοιοῦ Γ ρ′ ς ἐπιθύμου ϝ α μέλιτος λι τρ′ γ μαράθρου χυλοῦ λι τρ′γ · ἕψε τὸν χυλὸν μετὰ τοῦ μέλιτος μέχρι συστάσεως μελιτώδους καὶ ἐπίχεε κατὰ βραχὺ ἐν τῇ θυίᾳ τοῖς ξηροῖς κεκομμένοις καὶ σεσησμένοις καὶ ἑνώσας χρῶ· ἡ δόσις κοχλιάριον α . Καθαρτικὸν μελαίνης χολῆς.

98 Ὀριβασίου. Ὕδατος ξ/ε Γ μέλιτος ϝ θ ἐπιθύμου ϝ α , κόψας σήσας ἕψε ἅμα ἕως λειφθῇ τὸ τρίτον τοῦ παντὸς καὶ δίδου πίνειν πρὸς δύναμιν. ἐμοὶ δὲ δοκεῖ τὸ τέταρτον διδόναι, τοῖς δὲ εὐέκταις καὶ τὸ ἥμισυ. Ἄλλο καθαῖρον μέλαιναν χολὴν καὶ ξανθήν.

99 Σκαμμωνίας ϝ α c ἐπιθύμου ϝ α c πετροσελίνου ζιγγιβέρεως ἡδυόσμου ἀνὰ < β . ἀναλάμβανε μέλιτι καὶ δίδου καρύου ποντικοῦ μέγεθος. Πάστιλλον καθαρτικὸν χολῆς ξανθῆς.

100 Πεπέρεως μαστίχης στροβιλίων σταφίδων ἐκγιγαρτισμένων ἑκάστου κόκκους ιε κυμίνου κόκκους ιε σκαμμωνίας Γ ρ′ β ἢ πλέον ἢ ἔλαττον μέλιτος βραχὺ λεάνας ἅμα δίδου ὡς πάστιλλον. αὐτοῦ μία δόσις καθαίρει ἀλύπως. Βουκελάτον καθαρτικόν.

101 Ζύμης ἀπὸ σεμιδάλεως λι τρ′ β σκαμμωνίας ϝ α μαράθρου σπέρματος κυμίνου φύλλου ἑκάστου κεράτια ς πεπέρεως κόκκοι λγ ἁλῶν κοινῶν κόκκοι σύμμετροι δ ἐλαιογάρου κοχλιάρια β , κόψας σήσας τὰ ξηρὰ καὶ μαλάξας σὺν τῇ ζύμῃ καὶ ποιήσας ἀρτίσκους μικροὺς πλάτος ἔχοντας διπλάσιον μιλιαρισίου, δίδου ὀπτᾶσθαι μάλιστα ἐν κλιβάνῳ καὶ δίδου τὴν τελείαν δόσιν ϝ β τοῦ ἄρτου ἐσθίειν, ὡς ἂν βούλοιντο. νῆστις μέντοι γε χρῶ. ἐστὶ γὰρ ἀλυπότατον· κενοῖ χολήν. Ἀλοηδάρια ἀλύπως καθαίροντα. Ἀλόης ϝ γ ἀγαρικοῦ ϝ β c σκαμμωνίας ϝ α βδελλίου < δ κόμμεως σκώληκος ϝ β ἀνάπλασσε χυλῷ κράμβης, ἐπὶ δὲ τῶν πλαδώντων στομάχων χυλῷ τῆς σαρκὸς τοῦ κιτρίου καὶ ποίει ἐρεβίνθου μεγάλου μέγεθος καὶ δίδου τοῖς τελείοις ζ νήστεσιν, εἰ δὲ βούλει καὶ πρὸ δείπνου ἢ μετὰ δεῖπνον· εἰ δὲ μαλάξαι γ δίδου. Ἄλλο καθαῖρον ἀλύπως. Σκαμμωνίας ϝ β βδελλίου ϝ α ἀλόης < δ ἀγαρικοῦ < δ κόμμεως < δ · χυλῷ κράμβης ποίει ἐρεβίνθου καλοῦ μέγεθος καὶ δίδου μετὰ δεῖπνον, ἐὰν μαλάξαι βούλει γ , εἰ δὲ καθᾶραι ε ἢ πολὺ ζ . Φλέγματος ἀγωγόν.

102

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀριβασίου. Δαφνίδων νεαρῶν 𐅻 β εὐφορβίου 𐅻 α μέλιτος τὸ ἀρκοῦν ὡς γενέσθαι ἐλιγματῶδες· ἡ δόσις κοχλιαρίου τὸ ἥμισυ· ἐπὶ δὲ πλεοναζόντων χυμῶν καὶ πλεῖον δοθέν, πλείω ὠφέλησε. χρῶ ὡς καλλίστῳ. Ἄλλο φλέγματος κενωτικόν. ἀνίσου σπέρματος σελίνου ἄμμεως πεπέρεως κόκκου κνιδίου κνήκου σπέρμα λαθυρίδων ἀνὰ < δ κασσίας < β μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. δίδου τὴν τελειοτάτην δόσιν β κοχλιάρια. ἄλλο. κολοκυνθίδος ἐντεριώνης ἀνίσου πεπέρεως κασσίας ἀνὰ < δ κόκκου κνιδίου < η νάρδου στάχυος < β μέλιτος τὸ ἀρκοῦν ὡς ἐλιγματῶδες γενέσθαι. δίδου κοχλιάρια β τοῖς τελείοις. Μελαγχολικοῦ χυμοῦ κενωτικά.

103 Φιλαγρίου. Ζιγγιβέρεως < α σελίνου σπέρματος < β ὀποῦ κυρηναικοῦ < α πεπέρεως λιβυστικοῦ ἀνὰ < α ἐπιθύμου < δ ἀναλάμβανε μέλιτι ὡς ἐλιγματῶδες εἶναι καὶ δίδου κοχλιάρια β . ἄλλο· ἐπιθύμου ἀγαρικοῦ ἀλόης ἀνὰ < δ ἐλλεβόρου μέλανος φλοιοῦ < β βδελλίου < α κόμμεως < α ὑσσώπου < β ἴρεως < β ἀψινθίου χυλοῦ < β · εἰ δὲ μὴ παρείη χυλὸς τοῦ ἀψινθίου τῆς κόμης βάλε τὸ ἶσον· ἀναλάμβανε μέλιτι καὶ δίδου πρὸς δύναμιν· κενοῖ τὸν μελαγχολικὸν καὶ τὸν φλεγματικὸν χυμόν. Χολῆς καὶ φλέγματος καὶ μελαγχολίας καὶ τῶν λοιπῶν κοινὸν καθαρτήριον.

104 Λαθυρίδων κολοκυνθίδος ἐντεριώνης χαμελαίας φύλλων ξηρῶν σκαμμωνίας ἐπιθύμου πολυποδίου ἀνίσου ἀνὰ < ι ἑκάστου θύμου κορύμβων πεπέρεως μαστίχης καρποβαλσάμου κασσίας σελίνου σπέρματος χαμαιπίτυος ξηρᾶς ἀνὰ < ε ἀψινθίου χυλοῦ ἢ τῆς κόμης < ε μέλιτος τὸ ἀρκοῦν ὡς ἐλιγματῶδες γενέσθαι. δίδου κοχλιάριον α ἢ πλέον πρὸς δύναμιν. χρῶ δὲ αὐτῷ μὴ ἁπλῶς ἐπὶ πάντων, ἀλλ’ ἐφ’ ὧν τεκμαίρῃ πλεονάζειν ὁμοτίμως ἐν τῷ σώματι πάντας τοὺς χυμούς. Διὰ ῥοδομέλιτος ἀλοηδάρια μαλακτικά.

105 Ἀλόης 𐅻 ς κόστου ναρδοστάχυος καρποβαλσάμου σχίνου ἄνθους ἀνὰ 𐅻 α κασσίας 𐅻 β ἀγαρικοῦ < δ κρόκου < δ κενταυρίου κόμης Γ ρ′ δ μέλιτος 𐅻 β ῥόδων χυλοῦ 𐅻 δ ἐπιθύμου 𐅻 α . 〈ἄλλο〉 . ἀγαρικοῦ < δ κενταυρίου κόμης Γ ρ′ δ ναρδοστάχυος Γ ρ′ δ καὶ σχίνου ἄνθο 〈υ〉 c Γ ρ′ η ῥᾴου Γ ρ′ ς καὶ κρόκου ου ΓΓ′ α κας 〈c〉 ίας Γ ρ′ ις κόστου Γ ρ′ ς μαστίχης Γ ρ′ η ξυλοβαλσάμου Γ ρ′ ς ἀσάρου ου ΓΓ′ δ . 〈ἄλλο〉 . ῥέου Γ ρ′ η ἀσάρου Γ ρ′ δ ξυλοβαλσάμου Γ ρ′ ς μαστίχης Γ ρ′η · ἀνάπλαττε ῥοδομέλιτι καὶ δίδου πρὸς δύναμιν. Ἀλοηδάρια διὰ ῥοδομέλιτος μαλακτικὰ κοιλίας ἀλυπότατα. χρῶ δὲ αὐτοῖς ἐπὶ τῶν περὶ τὰ ἄρθρα καὶ μάλιστα εἰς τὰ τῶν ἰσχίων ἀλγήματα καὶ τῆς ὀσφύος. ἐστὶ δὲ καὶ τοῦ ἥπατος ἐκφρακτικά. ἰσίου Γ ρ′ η ἀγαρικοῦ < δ ἀλόης 𐅻 β ναρδοστάχυος Γ ρ′ η σχοίνου ἄνθους Γ ρ′ η κρόκου Γ ρ′ δ κασσίας Γ ρ′ ις κόστου Γ ρ′ η καρποβαλσάμου Γ ρ′ η ῥοδομέλιτος 𐅻 γ καὶ Γ ρ′ η , λεάνας ἀνάπλαττε καταπότια διὰ τοῦ ῥοδομέλιτος καὶ δίδου ε μετὰ τὸ δεῖπνον, εἰ βούλει καθ’ ἑκάστην ἡμέραν ἢ παρὰ μίαν ἢ ὡς ἂν δοκιμάσῃς. ἀποσμήχει γὰρ καὶ τὸν στόμαχον καὶ τὰ ἄρθρα, καθαίρει δὲ ἐξαιρέτως φλέγμα. συνήθως δὲ δεῖ ἀριστᾶν καὶ δειπνεῖν. Χολῆς καὶ φλέγματος ἀγωγόν.

106 ἀψινθίου κόμης κεκομμένης καὶ σεσησμένης 𐅻 α ἀλόης λειοτάτης 𐅻 α · ἀναλάμβανε ὀπῷ τιθυμάλλου, μάλιστα τοῦ μυρσινίτου καὶ ἀνάπλαττε κολλύρια φασήλου μέγεθος καὶ δίδου γ μόνα. Ἀλοηδάρια ἐκ τῶν Φιλαγρίου ξανθῆς χολῆς καὶ φλέγματος κενωτικά.

107 κολοκυνθίδος ἐντεριώνης ἀλόης σκαμμωνίας ἀνὰ < ι μαστίχης βδελλίου ἀνὰ < ε ἀψινθίου χυλοῦ ἢ τῆς κόμης < ε ἀνάπλασσε χυλῷ κράμβης καὶ ποίει καταπότια ἐρεβίνθου μέγεθος καὶ δίδου τοῖς τελείοις κα , πάνυ καλά. ἄλλο διὰ πείρας πολλῆς καὶ αὐτό· κενοῖ δὲ τοὺς τρεῖς χυμούς· ἀλόης ἐπιθύμου ἀνὰ < β σκαμμωνίας < β κολοκυνθίδος ἀγαρικοῦ ἀνὰ < α ἀναλάμβανε χυλῷ κράμβης καὶ δίδου καταπότια ιε . ἄλλο δοκιμώτατον ἐν Τύρῳ σκευαζόμενον. σκαμμωνίας 𐅻 β ἀλόης < δ μαστίχης βδελλίου πεπέρεως ἀψινθίου ἀνὰ < β , χυλῷ τοῦ μέσου τοῦ κιτρίου καὶ τοῦ λέπους ἀναλάμβανε καὶ ποίει καταπότια καὶ δίδου ζ ἢθ · ποιεῖ καθ’ ἕδρας ζ ἢθ · εἰ δὲ καλῶς βούλει καθᾶραι ἐχέτωσαν τὰ διδόμενα καταπότια σταθμῷ Γ ρ′ δ καὶ πλεῖον.

Ἀλοηδάριον Ὀριβασίου ἐπὶ τῶν ὀφθαλμιώντων μάλιστα, κενοῖ δὲ μᾶλλον χολὴν ξανθὴν καὶ μέλαιναν.

108 Σκαμμωνίας Γ ρʹ η ἐλλεβόρου μέλανος φλοιοῦ Γ ρʹ η ἀλῶν ἀμμωνιακῶν < β πάνακος ῥίζης < β πεπέρεως < α γλήχωνος < α , πλάσσε δι’ ὕδατος κυάμοις ἑλληνικοῖς ὅμοια καὶ δίδου ζ μέσην δόσιν, ἵνα ἔχωσι τὰ ζ < α καὶ ὀβολοὺς β . Ἄλλο Ὀριβασίου.

109 Ἀλόης < ρ ναρδοστάχυος ἀσάρου μαστίχης κρόκου ξυλοβαλσάμου ἀνὰ < ς κασσίας < ιβ ἐπιθύμου Γ ρʹ ις , πλάσσε ὀροβιαῖα μεγέθει δι’ ἀφεψήματος γλήχωνος καὶ δίδου κοχλιάρια κα · τοῦτο τεταρταίους ἰᾶται· δυνατὸν καὶ μέλιτι ἑφθῷ αὐτὰ ἀναπλάττειν. Ἅλες καθαρτικοί.

110 Ἁλὸς ἀμμωνιακοῦ 𐆂 ς ζιγγιβέρεως Γ ρʹ α πεπέρεως < γ φύλλου ναρδοστάχυος ἀνὰ Γ ρʹ α σιλφίου Γ ρʹ α σελίνου σπέρματος < β γλήχωνος < α σκαμμωνίας Γ ρʹη · ἡ δόσις κοχλιάριονα · κενοῖ χολήν. ἄλλο. ἁλὸς ἀμμωνιακοῦ 𐆂 ς ζιγγιβέρεως < β πεπέρεως < γ ναρδοστάχυος Γ ρʹ α γλήχωνος < δ σελίνου σπέρματος < α φύλλου Γ ρʹ α λαθυρίδων 𐆂 α · δίδου κοχλιάριον· κενοῖ φλέγμα. ἄλλο· ἁλὸς ἀμμωνιακοῦ 𐆂 ς πεπέρεως < δ ζιγγιβέρεως < β ἀνίσου < α σελίνου σπέρματος < α φύλλου Γ ρʹ α ἐπιθύμου 𐆂 α δίδου κοχλιάριον, κενοῖ τὸν μελαγχολικὸν χυμόν. Ἁλάτια ὑπακτικὰ κενοῦντα τὸ παρακείμενον ἐν τῇ γαστρὶ καὶ ἐντέροις φλέγμα καὶ τοὺς λοιποὺς χυμούς· καθαίρει μετρίως καὶ χολήν· ἁρμοδιώτατον δέ ἐστιν ἀρθριτικοῖς σκοτωματικοῖς· τούτῳ ἕτερός τις στομαχικευόμενος, καταπίπτων συνεχῶς ἐπιληπτικῶς ἐχρήσατο καὶ σφόδρα ηὐχαρίστησεν. ἐστὶ δὲ ἄνοσον τοῖς συνήθως αὐτῷ χρωμένοις. πετροσελίνου < γ μαστίχης Γ ρʹ γ ζιγγιβέρεως Γ ρʹ Γ πεπέρεως Γ ρʹ ς εὐφορβίου Γ ρʹ ς ἁλῶν ἀμμωνιακῶν < ιε σκαμμωνίας < ς · ἡ δόσις κοχλιάριον α ἢ τὸ ἥμισυ ἐν τῷ ἀρίστῳ μετὰ κρεῶν ἢ ὄρνιθος ἢ ἰχθύος εἰς ἔμβαμμα. σταθμῷ δὲ ἔστω Γ ρʹδ · εἰ δὲ δραστικώτερον βούλοιο καθᾶραι δίδου νηστικῷ ἕωθεν μετὰ χυλοῦ πτισσάνης ἢ μετὰ μελικράτου Γ ρʹς · τοῖς δὲ ἰσχυροτέροις καὶ Γ ρʹ ἑπτὰ δίδου· τοῖς δὲ ἀσθενεστέροις δίδου Γ ρʹ ε ἢ Γ ρʹ δ . Ἄλλο καθαρτικὸν καθαῖρον ἀκινδύνως, μὴ ἀνατρέπον στόμαχον, διδόμενον ἐν παντὶ καιρῷ καὶ πάσῃ ἡλικίᾳ καὶ παιδίοις· ἐκκρίνει σκύβαλον καὶ πᾶσαν ὕλην διεφθαρμένην ἀπὸ κεφαλῆς ἕως ὀνύχων· ἀπαλλάσσει πιτυριάσεων καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γιγνομένων ἐξανθημάτων· ποιεῖ σκοτωματικοῖς ὀφθαλμιῶσι· θεραπεύει πάντα τὰ περὶ τὴν ἐπιφάνειαν γιγνόμενα ἐξανθήματα. ἀπαλλάσσει τριταῖον τεταρταῖον ἀμφημερινὸν ἐν τοῖς διαλείμμασι διδόμενον, πέψεως δηλονότι χρηστῆς ἐν τοῖς οὔροις προφανείσης· μᾶλλον δὲ τῶν ἄλλων χολὴν ἐκκενοῖ. ἔχει δὲ οὕτως· ζιγγιβέρεως πετροσελίνου ἐπιθύμου σιλφίου ἄμεως σελίνου σπέρματος κυμίνου λιβυστικοῦ πεπέρεως ἀνὰ < δ σκαμμωνίας 𐆂 γ c ἁλῶν ἀμμωνιακῶν πεφρυγμένων 𐆂 ζ · φρύξας τοὺς ἅλας κόπτε μετὰ τῶν λοιπῶν, τὴν δὲ σκαμμωνίαν λεάνας σήσας ἕνωσον ἐν τῇ θυίᾳ καὶ δίδου Γ ρʹ θ μετὰ χυλοῦ πτισσάνης ἢ μελικράτου ἀκρατεστέρου. Ἄλλο παραπλήσιον ὀξύτερον πάνυ διὰ πείρας ἀδιάστροφον, μᾶλλον τὴν χολὴν κενοῦν. ἄμεως Γ ρʹ ς σελίνου σπέρματος Γ ρʹ γ πεπέρεως πετροσελίνου ἐπιθύμου κυμίνου ἀνὰ Γ ρʹ δ σκαμμωνίας 𐆂 α ἁλῶν κοινῶν 𐆂 ε ἁλῶν ἀμμωνιακῶν 𐆂 δ · ἡ δόσις κοχλιάριον μετὰ πτισσάνης. Ἄλλο διὰ πείρας πάνυ κάλλιστον. ἐπιθύμου Γ ρʹ ιη θύμου κορύμβων Γ ρʹ η ἁλὸς ἀμμωνιακοῦ Γ ρʹ η πεπέρεως Γ ρʹ β κυμίνου αἰθιοπικοῦ Γ ρʹ β ἀνίσου Γ ρʹ β μαστίχης Γ ρʹ ιβ κόψας σήσας φύλαττε· ἐπὶ δὲ τῆς χρείας λαβὼν σκαμμωνίας Γ ρʹ β καὶ λεάνας μετὰ μέλιτος ὀλίγου ἐπίβαλλε τοῦ ξηρίου Γ ρʹ ε μόνα καὶ ἑνώσας δίδου μετὰ πτισσάνης χυλοῦ ἢ μελικράτου. Καθαρτικὸν φλεγμαγωγὸν τοῦ Διογένους.

111 Εὐφορβίου 𐆂 α πεπέρεως 𐆂 α ἁλὸς ἀμμωνιακοῦ 𐆂 α λειώσας ποίει ξηρίον καὶ δίδου ἐν ᾠῷ ῥοφητῷ κοχλιαρίου τὸ c. τοῦτο καθαίρει φλέγμα μόνον· ἡ δόσις ἡ τελεία Γ ρʹ δ . ἄλλο ξανθὴν χολὴν καθαῖρον· σκαμμωνίας 𐆂 α κόστου Γ ρʹ δ ναρδοστάχυος Γ ρʹ δ ἐρυθροδάνου ῥίζης λειοτάτης Γ ρʹβ · ἡ τελεία δόσις Γ ρʹ γ , ἡ μέση Γ ρʹ β , ἡ ἐλαχίστη α . Ἄλλο κενοῦν καὶ μελαγχολικὸν χυμόν. σκαμμωνίας εἰς μῆλον ὀπτηθείσης < ε κόστου ναρδοστάχυος ἀνὰ Γ ρʹ δ

καρυοφύλλου Γ ρʹ α c ἐρυθροδάνου ῥίζης Γ ρʹβ · ἐπιθύμου Γ ρʹβ · ἡ τελεία δόσις Γ ρʹ ϛ , ἡ μέση Γ ρʹ δ , ἡ ἐλαχίστη Γ ρʹ γ . Ὑδραγωγὸν καθαρτικὸν ἄγον φλέγμα καὶ ὕδωρ· πεπέρεως πηγάνου σπέρματος ῥινίσματος ἐλεφαντίνου εὐφορβίου ἶσα· ἡ δόσις Γ ρʹ γ μετὰ μελικράτου ἢ κονδίτου· ποιεῖ καὶ κωλικοῖς καὶ ὑδερικοῖς.

112 Ἄλλο ὑδραγωγόν. Πετροσελίνου ἀνίσου θύμου κορύμβων ἀνὰ < γ χαμελαίας φύλλων ξηρῶν < ι μέλιτος τὸ ἀρκοῦν, ὡς ἑλιγματῶδες γενέσθαι· δίδου τὴν τελείαν δόσιν μέχρι κοχλιαρίωνδ · εἰ δὲ ἐπιτεῖναι βούλει, πρόσμιγε τοῖς προειρημένοις λεπίδος χαλκοῦ < ϛ καὶ δίδου τὴν τελείαν δόσιν κοχλιάρια γ . Περὶ τῶν ἱερῶν.

113 Ἱερὰ Λογαδίου. Κολοκυνθίδος ἐντεριώνης < κ σκίλλης ὀπτῆς ἀγαρικοῦ ἀμμωνιακοῦ θυμιάματος σκαμμωνίας ἐλλεβόρου μέλανος φλοιοῦ ὑπερικοῦ ἀνὰ < ι ἐπιθύμου πολυποδίου ξηροῦ βδελλίου ἀλόης χαμαίδρυος πρασίου κασσίας ἀνὰ < η σμύρνης τρωγλίτιδος πεπέρεως λευκοῦ πεπέρεως μακροῦ πεπέρεως μέλανος κιναμώμου κρόκου ὀποπάνακος σαγαπηνοῦ καστορίου πετροσελίνου ἀριστολοχίας μακρᾶς ἀνὰ < δ · μέλιτι ἀναλάμβανε· ἡ τελεία δόσις < δ , ἡ μέση < γ , ἡ δὲ πάνυ ἐλαχίστη < β · ἐπίβαλλε τῇ δόσει ἁλῶν λειοτάτην κοχλιαρίου τὸ ἥμισυ. Καθαρτικὸν ἄλυπον ποιοῦν ἰσχιαδικοῖς καὶ πρὸς περιοδικῶς ὀχλουμένους χρονίως. κολοκυνθίδος ἐντεριώνης ℥ α νίτρου ℥ β λειώσας καλῶς δίδου τοῖς εὐτονοῦσι < α μεθ’ ὑδρομέλιτος κράσεως μεγάλης νήστεσι, τοῖς δὲ ἀσθενοῦσι κεράτιαθ · χρῶ θαρρῶν. ἄλλο δόκιμον πρὸς ἀρχὰς μανίας μελαγχολικοῖς παραλυτικοῖς ἰσχιαδικοῖς σκοτωματικοῖς ἐπιληπτικοῖς ἀλωπεκίαις κεφαλαλγίαις. ἐλλεβόρου μέλανος < η σκαμμωνίας < η ἁλῶν ἀμμωνιακῶν < δ κόμμεως < α ἀνάπλασσε καταπότια ἐρεβίνθου μέγεθος χυλῷ κράμβης καὶ δίδου τοῖς τελείοις σταθμῷ Γ ρʹε · ἡ μέση δόσις Γ ρʹ δ , ἡ ἐλαχίστη Γ ρʹ γ τοῖς πάνυ ἀσθενοῦσιν. ἐστὶν ἡ γραφὴ Ὀριβασίου κεφάλαιον ρζ · λείπει δὲ τούτῳ τρία εἴδη. Καθαρτικὸν τοῦ προσομιλήτου. Ἐπιθύμου ℥ γ ἰσίου ℥ α ἀγαρικοῦ < δ εὐφορβίου Γ ρʹ ϛ ναρδοστάχυος φύλλου κόστου πεπέρεως ἀνὰ < δ καρυοφύλλου Γ ρʹϛ · ἡ δόσις Γ ρʹ ϛ μετὰ μελικράτου. εἰ δὲ ξανθὴν χολὴν εὕροις συνυποκειμένην τοῖς ἄλλοις δυσὶ χυμοῖς, προστίθει τῇ δόσει ἐπὶ τῆς χρείας καὶ ἄλλην σκαμμωνίαν, ὅσην δ’ ἂν συνορᾷς πρὸς δύναμιν. ἔχει ἡ δόσις ἰσίου κερ α͵ε ἐπιθύμου Γ ρʹ β c ἀγαρικοῦ κερ α͵β c εὐφορβίου κερ α͵γ . Ἱερὰ Γαληνοῦ.

114 Κολοκυνθίδος ἐντεριώνης < κ χαμαίδρυος ἀγαρικοῦ σκίλλης ὀπτῆς ἀμμωνιακοῦ θυμιάματος σκαμμωνίας ἐλλεβόρου μέλανος φλοιοῦ στοιχάδος ὑπερικοῦ ἀνὰ < ιϛ ἐπιθύμου εὐφορβίου < η πολυποδίου ξηροῦ βδελλίου ἀλόης πρασίου κασσίας ἀνὰ < η σμύρνης τρωγλίτιδος σαγαπηνοῦ κρόκου ἀριστολοχίας μακρᾶς πεπέρεως λευκοῦ πεπέρως μακροῦ πεπέρεως μέλανος κιναμώμου ὀποπάνακος καστορίου πετροσελίνου ἀνὰ < δ μέλιτος τὸ ἀρκοῦν· δίδου τὴν τελείαν δόσιν < δ , τὴν μέσην < γ , τὴν ἐλαχίστην < β , μετὰ μελικράτου καὶ ἁλῶν λειοτάτων κοχλιαρίου τὸ c. μέγιστον δὲ αὐτῆς ἀγαθόν ἐστιν, ὅτι καθαίρει ἐκ τοῦ βάθους καθ’ ὑπερβολὴν ποικίλους χυμούς, οὔτε ἔκλυσιν οὔτε θλίψιν οὔτε ἀτονίαν οὔτε ἀνορεξίαν οὔτε ἄλλην ἀπορίαν τῷ πάσχοντι παρέχουσα, ἀλλὰ μᾶλλον εὔπνους καὶ εὐθύμους καὶ εὐτόνους ἐργάζεται, ὡς θαυμάζειν τὴν ὑπερβολήν. ἰᾶται γοῦν ἡμικρανικὰς διαθέσεις σκοτωματικὰς ἐπιληψίας μανίας μελαγχολίας ληθάργους καὶ τὰ ὅμοια, ἀμβλυωπίας δυσηκοίας φωνῆς ἀποκοπὰς ἀσθματικοὺς στομαχικὰς διαθέσεις χρονίας σπληνικοὺς νεφριτικοὺς κοιλιακοὺς ἀρθριτικοὺς ἰσχιαδικοὺς ποδαγρικούς, ἔμμηνα ἄγει, ἁρμόζει τρομώδεσι καὶ παρέτοις· λειχῆνας ἀγρίους καὶ πάντα τὰ περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος γιγνόμενα ἐξανθήματα καὶ ἐλεφαντιῶντας καὶ τοὺς χρονίους τῶν περιοδιζόντων πυρετῶν θεραπεύει καὶ πάντα τὰ κακοήθη τῶν ἑλκῶν καὶ καρκινώδη. Ἱερὰ Ἀρχιγένους ἐκ τῆς πρὸς Μάρσον ἐπιστολῆς περὶ μελαγχολίας.

115 Κολοκυνθίδος ἐντεριώνης < κ χαμαίδρυος ἀγαρικοῦ πρασίου στοιχάδος ἀνὰ < ι ὀποπάνακος < η σαγαπηνοῦ < η πετροσελίνου ἀριστολοχίας στρογγύλης πεπέρεως λευκοῦ ἀνὰ < ε κιναμώμου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναρδοστάχυος σμύρνης τρωγλοδυτικῆς πολίου κρόκου ἀνὰ < δ · ἀναλάμβανε μέλιτι ἀπηφρισμένῳ, ὡς ἔχειν ῥύπου πάχος καὶ ἀπόθου ἐν ὑελείῳ ἀγγείῳ. ἡ τελεία δόσις < δ μετὰ μελικράτου ἁλῶν προσεμβαλλομένων ὅσον κοχλιάριον μικρόν. κακοπίνως γάρ πως διακειμένου τοῦ κάμνοντος δραστικὴν ἐμποιεῖ τὴν παρασκευήν, οὐ μόνον τῷ πλήθει τῶν διὰ τῆς κοιλίας ὑπεξαγομένων, ἀλλὰ καὶ τῇ ἰδιότητι τὴν τῆς διαθέσεως αὐτῆς ἰδίαν χολὴν μέλαιναν ἐλαττοῦσα. πλευρίτιδι γοῦν πρῶτον ἐσκευάσθη καὶ τοῖς φυσώδεσι τῶν παθῶν ἐστι καταλληλότατον, καὶ εὐπνοίας ποιητικώτατον καὶ τοῖς παραποδισμοῖς τῶν τροφῶν ἀντιπαθέστατον καὶ χρώματος σμηκτικώτατον, τὸ μὲν αἷμα καθυλίζον, τὸ δὲ φαύλως ἀνακαιόμενον πνεῦμα διαυγέστερον ἐξάπτον. ἀλλ' οὐκ ἐγκώμιον πρόκειται ὑπεξελθεῖν τῆς μὴ μάτην κληθείσης ἱερᾶς· μακρὸν γὰρ ἂν εἴη· τῶν δὲ μελαγχολικῶν διαθέσεων οὐδὲν ἂν εὕροιμεν συγκρίνειν ἀληθινώτερον φάρμακον καὶ πολλοὺς οἶδα διὰ τῆς συνεχοῦς χρήσεως μηδενὸς ἄλλου δεηθέντας, κἂν εἰ μηδεμίαν χολὴν ὅλως ἀποκρίνοιεν. οὐ γὰρ οἱ ἀποκρίνοντες τὴν μέλαιναν μόνοι μελαγχολικοὶ καλοῦνται, ἀλλ' οἱ ἔχοντες ἤδη ἐν τοῖς στερεοῖς τὴν κατασκευήν. καὶ τὰς τῶν μηνίγγων δὲ καχεξίας εὖ μάλα ἐκτρίβει, ὅθεν ἐπιληψίας καὶ τὰς ἐντεῦθεν μανίας θαυμαστῶς ἀποσκευαζόμενον φαίνεται. [εὗρον δὲ ἐγὼ τὴν γραφὴν ταύτην ἐν δυναμερῷ ἀπὸ Ῥώμης μοι κομισθέντι σφόδρα ἐπαινουμένην ἐπὶ μαινομένων μελαγχολικῶν ἰσχιαδικῶν παραλυτικῶν σκοτωματικῶν ἐπιληπτικῶν κεφαλαλγικῶν ἀλωπεκιῶν. οὐκ εἶχε δὲ πάνακα οὐδὲ πέπερι οὐδὲ γλήχωνα.] Ἱερὰ Ῥούφου ἐκ τοῦ περὶ μελαγχολίας.

116 Κολοκυνθίδος ἐντεριώνης < κ χαμαιπίτυος < ι χαμαίδρυος < ι κασσίας < ε ἀγαρικοῦ πρασίου ἀνὰ < ι ὀποπάνακος < η σαγαπηνοῦ < ε πετροσελίνου < ε ἀριστολοχίας στρογγύλης < ε πεπέρεως λευκοῦ < ε κιναμώμου < δ ναδροστάχυος κρόκου σμύρνης τρωγλοδυτικῆς πολίου ἀνὰ < δ . ἀναλάμβανε μέλιτι καὶ δίδου < δ τὴν τελείαν δόσιν μετὰ μελικράτου καὶ ἁλῶν. ἔχει τι πρὸς τὴν γνώμην συμφέρον τῷ ἄγειν ἀπὸ κεφαλῆς τὰ πλεῖστα· ὅθεν ἰλίγγοις καὶ καρηβαρίαις καὶ γλαυκώμασι προμελετωμένοις ἐπιληπτικοῖς παραλυτικοῖς πάθεσι τοῦτο τὸ φάρμακον ἰδίως προσάγοντες ἰώμεθα, καὶ εἰ δέοι μνήμην ἀνακαλέσασθαι. τῷ δὲ μελαγχολικῷ οὐ μικρὰ καὶ ἡ τυχοῦσα ὠφέλεια ἐξ αὐτοῦ γίγνεται. διὸ πολλάκις καθαρτέον αὐτῷ. τὰ μὲν γὰρ ἄλλα φάρμακα ἄλλα ἄλλως σύγκειται καὶ πρὸς ἕτερά τινα νοσήματα ἐπιτηδειότερα. ᾧ δ' ἄν τις χρήσαιτο πρὸς τὰ μελαγχολικά, ἐστι τοῦτο· χρῆσθαι δὲ καὶ ἑκάστης ἡμέρας ὅσον κυάμου πλήθει τῆς ἀντιδότου οὐ καθάρσεως χάριν· μεγάλα γὰρ ὀνίνησιν εἰς τὰς πέψεις καὶ τὸ ἄφυσον. δοκεῖ δέ μοι ἐπὶ ταῖς γενναίαις πάσαις καθάρσεσι συμφέρειν πίνειν μαλάχης σπέρματος < β . Ἱερὰ Ἰούστου ποιοῦσα πρὸς ὅσα καὶ αἱ προειρημέναι.

117 Ἐπιθύμου < λβ πρασίου στοιχάδος χαμαίδρυος ἐλλεβόρου μέλανος φλοιοῦ σκαμμωνίας ἀγαρικοῦ πεπέρεως λευκοῦ πεπέρεως μακροῦ πεπέρεως μέλανος σκίλλης ὀπτῆς ἀνὰ < ις κολοκυνθίδος ἐντεριώνης εὐφορβίου ἀλόης κρόκου γεντιανῆς πετροσελίνου ἀμμωνιακοῦ θυμιάματος σαγαπηνοῦ ἀνὰ < η ὀποπάνακος πολίου κινναμώμου κασσίας σμύρνης ναρδοστάχυος σχοίνου ἄνθους γλήχωνος ἀνὰ < δ ἀριστολοχίας μακρᾶς < β καὶ στρογγύλης < β μέλιτος ἀπηφρισμένου τὸ ἱκανόν. ἡ τελεία δόσις < δ μετὰ μελικράτου καὶ ἁλῶν λειοτάτων ὅσον κοχλιάριον μικρόν. Ἱερὰ Ἀντιόχου. Χαμαίδρυος ἀγαρικοῦ κολοκυνθίδος ἐντεριώνης στοιχάδος ἀνὰ < ι ὀποπάνακος σαγαπηνοῦ πετροσελίνου ἀριστολοχίας πεπέρεως λευκοῦ ἀνὰ < ε κινναμώμου ναρδοστάχυος σμύρνης τρωγλίτιδος κρόκου φύλλων ἀνὰ < δ μέλιτος τὸ ἀρκοῦν. ποιεῖ πρὸς μελαγχολίας μανίας ἐπιληψίας καὶ πᾶσι τοῖς τρυγῶδες αἷμα περιέχουσιν. Ὅπως χρὴ ἐπιβοηθεῖν τοῖς πιοῦσι φάρμακον καὶ μὴ καθαιρομένοις.

118 Εἰ δέ τις πιὼν φάρμακον μὴ καθαίροιτο, μελίκρατον ἀκρατέστερον δίδου καταρροφεῖν συνεχῶς καὶ νίτρου βραχυτάτου τετηκότος ἐν ὕδατι· κάλλιστον δὲ πλειστάκις πειράσας ἔγνων μαστίχης λειοτάτης διδόναι ὅσον Γ ρ' ιβ μεθ' ὕδατος χλιαρωτέρου. βέλτιστον δὲ καὶ βαλανεῖον

προστίθεσθαι τῷ δακτυλίῳ δι’ ἁλῶν καὶ νίτρου καὶ μέλιτος καὶ μῆλον δὲ ἐνίοτε διαμασηθὲν ἤνυσε τὸ δέον. τονωθὲν γὰρ τὸ στόμα τῆς γαστρὸς ἐκθλίβει κάτω τὰ περιττώματα. [Κατὰ πόσας αἰτίας οὐκ ἐκκρίνει ἡ γαστὴρ καθαρτηρίου δοθέντος; Κατὰ ε αἰτίας, ἢ διὰ τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος φύσεως ἢ διὰ βραχύτητα τοῦ δοθέντος φαρμάκου ἢ διὰ κόπρον ἐσφηνωμένην σκληρὰν κατά τινα τῶν ἐντέρων ἢ δι’ οὔρων τὴν ὁρμὴν τῆς φύσεως πεποιημένης ἢ δι’ ἀποτυχίαν καθαίροντα πρὸς τὸ βλάπτειν μηδὲν τὸ σῶμα τροφὴ γίνεται τοῦ ζῴου, τὸ δὲ εἰς φάρμακον δηλητήριον ἐκτρέπεται. Ἱπποκράτης δὲ περὶ ὑπερκαθάρσεως οὕτω λέγει· ὅταν ὑπερκάθαρσις καταλάβῃ τὸν ἄνθρωπον, εὐθὺς εἰς βαλανεῖον ἐμβιβάσας αὐτόν, οἶνόν τε ἐπιπίνειν οἰκεῖον καὶ πρὸ τοῦ βαλανείου καὶ μετὰ τὸ βαλανεῖον κιρρὸν τὸ χρῶμα καὶ λευκὸν τῇ συστάσει. καὶ ἡ ἐμὴ πεῖρα τὸ αὐτὸ εὗρε δοκιμώτερον πάντων, ὥστε μὴ καταφρονήσῃς.] Ἐπιμέλεια τῶν ὑπερκαθαιρομένων Ὀριβασίου.

119 Ἐπὶ τῶν ὑπερκαθαιρομένων συστέλλειν χρὴ τὸ ποτόν, καὶ ὑπνοῦν ἐπιτρέπειν, διδόναι δὲ οἶνον αὐστηρὸν κατὰ βραχὺ μετὰ κρηναίου ὕδατος· καλὸν δὲ καὶ τὸ ἁδρὸν τοῦ ἀλφίτου φώξαντα ἐπιπάσσειν τῷ ποτῷ ἢ κωδύαν μήκωνος λείαν καὶ κηκίδος βραχύ· ποιεῖ δὲ καλῶς καὶ φακῆς λελεπισμένης ἄλευρον σὺν ὄξει καὶ τεύτλῳ μέλανι ἑψηθείσης προσλαβούσης καὶ ῥοῦν ἢ κωδύας βραχύ. καὶ ἄπιοι ξηροὶ ἐκμυζόμενοι ποιοῦσι καὶ κυδώνια. εἰ δὲ ἐπιμένοι ἡ φορὰ χρηστέον τοῖς δραστικωτέροις πρὸς κοιλιακοὺς ἀναγεγραμμένοις. ἐπὶ δὲ τῶν εὐκόλως ἐμούντων ὕδωρ χλιαρὸν πολὺ δίδου πίνειν καὶ κέλευε ἐμεῖν δακτύλων ἢ πτερῶν καθέσει, καὶ τοῦτο ποίει δὶς καὶ τρὶς ἐφεξῆς· ἔπειτα μήλινον ἔλαιον καὶ οἶνον θερμάνας καὶ ῥάκη λινᾶ τούτῳ βάπτων, πρόσαγε τῇ γαστρὶ καὶ διαστήσας βραχὺ τῆς θηριακῆς ἀντιδότου ὅσον κυάμου μέγεθος λύσας μετ’ οἴνου δίδου πίνειν. Περὶ ἐμέτων ἐκ τοῦ Ῥούφου.

120 Ἐπειδὴ ἐν τοῖς συντόνοις ἐμέτοις πολλὰ καὶ ἄτοπα παρακολουθεῖν εἴωθε, καλῶς ἔχει τρόπους εἰπεῖν πρότερον, ὅπως ἔνεστιν εὐπετῶς ἐμεῖν· καὶ γὰρ φλέγμα κινεῖ ὁ ἔμετος καὶ κεφαλὴν κουφίζει· καὶ τὸν προθυμοτέρως φαγόντα ἢ οἴνου πλείονος λαβόντα βλαβῆναι κωλύει. βοηθεῖ δὲ ἡ δι’ ἐμέτων κάθαρσις καὶ ταῖς ὑπεράγαν ἐξογκώσεσι τοῦ σώματος, ἀρήγει καὶ τοῖς ὑπερβαλλόντως κατισχνωμένοις καὶ τὰς ῥευματικὰς δὲ διαθέσεις πάσας φιλεῖ ὁ ἔμετος ἐξιᾶσθαι, οἷον ἕλκωσιν νεφρῶν καὶ κύστεως καὶ δακτυλίου καὶ τῶν ἄλλων μορίων, ἐλεφαντιῶντας καὶ καρκίνους καὶ τὰς καχεξίας τοῦ σώματος καὶ τὰς ἀρθριτικὰς διαθέσεις. τοῖς τε ὑδρωπικοῖς κατάλληλος καὶ μάλιστα τοῖς ἀνὰ σάρκα ἔχουσι τὸν ὕδερον, ἰκτερικοῖς τε καὶ ἐπιληπτικοῖς τοῖς ἀπὸ στομάχου τὴν ἀρχὴν τῆς διαθέσεως λαβοῦσι· τοῖς γὰρ ἐν τῇ κεφαλῇ τὴν διάθεσιν ἔχουσιν ἐπιληπτικοῖς ἀκατάλληλος ὁ ἔμετος. βοηθεῖ δὲ καὶ τρόμοις παρέσεσιν ἀποπληξίαις ὀρθοπνοίαις μελαγχολίαις λειχηνώδεσιν. ἐναντιοῦνται δὲ ἔμετοι αἵματος ἀναγωγῇ πνιξὶν ὑστερικαῖς ναυτιώδεσι φύσεσι λειποθυμίαις τοῖς ὑπὸ πνιγμοῦ συνεχῶς ἐνοχλουμένοις καὶ τοῖς ὑπὸ τῆς τυχούσης προφάσεως ὀδυνωμένοις τὴν κεφαλὴν καὶ τοῖς ὑποψίαν ὑποχύσεως ἔχουσι καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τοὺς ὀφθαλμοὺς πάθεσιν. ἔστω δὲ τὰ προσαγόμενα ἐμετικὰ μὴ στρυφνὰ καὶ ξηρά, ἀλλὰ τὰ μὲν γλυκύτερα, τὰ δὲ δριμύτερα· δοκεῖ δὲ ἐν τούτοις ῥαφανὶς εὐδοκιμεῖν καὶ εὔζωμον καὶ τάριχος παλαιὸς καὶ ὀρίγανος χλωρὰ καὶ κρόμμυον ὀλίγον καὶ πράσον. συνεργεῖ δὲ τοῖς ἐμέτοις καὶ πτισσάνη μέλιτός τι προσλαβοῦσα καὶ τὰ λιπαρὰ τῶν κρεῶν. ἀλλ’ ὅμως οὐ χρὴ ἀφεψήσαντα τὰ εἰρημένα ἢ τὰ τοιαῦτα τοὺς χυλοὺς αὐτῶν μόνον λαμβάνειν, ἀλλ’ ὅλους τοὺς ὄγκους καταπίνειν. μηδὲ μὴν περὶ τὴν μάσησιν ἐπὶ πολὺ ἐνδιατρίβειν χρὴ τὸν ἐμεῖν μέλλοντα· τῇ μέντοι ἑψήσει μαλακὰ πάντα ἔστω. δῆλον δέ που ὅτι καὶ τῶν οἴνων τοὺς γλυκυτέρους αἱρετέον· οὗτοι γὰρ ἐπιπολαστικώτεροι· καὶ χλιαρῷ χρῆσθαι ποτῷ. χρὴ δὲ καὶ ἀμύγδαλα εἰς μέλι βάπτοντα ἐσθίειν καὶ πλακοῦντος γεύεσθαι τηνικαῦτα καὶ πέπονος καὶ σικύου τὸ σπέρμα βρέχοντα μέλιτι προσφέρεσθαι. καὶ ἡ ῥίζα δὲ τοῦ ἡμέρου σικύου καὶ πέπονος ῥίζα λεῖα μετὰ μέλιτος κινεῖ ἔμετον, καὶ κελτικῆς ῥίζα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λειωθεῖσα ὅσον < ζ ἐν μελικράτῳ καὶ ποθεῖσα καθαίρουσιν ἄνω ἰσχυρῶς, ὥστε ἐνίοτε καὶ ὑπερκάθαρσιν ἐπακολουθεῖν. οἱ δὲ ἰσχνοτέροις βουλόμενοι χρῆσθαι ναρκίσσου βολβὸν ἑψήσαντες ἐν ὕδατι, τῷ μὲν ἀφεψήματι κεραννύουσι τὸν οἶνον, αὐτὸν δὲ τὸν βολβὸν ἐσθίουσιν ἑψηθέντα μετ᾽ ἐλαίου καὶ ἁλῶν βραχυτάτων· προτρέπει δὲ εἰς ἔμετον καὶ μύρον ἴρινον καὶ πολλῷ μᾶλλον τὸ κύπρινον, εἴ τις διαχρίσας τοὺς δακτύλους ἐρεθίζοι. ἔμετον δὲ ἀλύπως κινεῖ καὶ ὑσσώπου ἀφέψημα καὶ θύμου καὶ κνίκου σπέρμα λειωθὲν σὺν σησάμῳ μετὰ μελικράτου πλείστου πινόμενον, καὶ καρδάμου σπέρμα, ὁμοίως ἔλαιον σησάμινον ῥαφάνινον ναρκίσσινον δαφνοειδοῦς φύλλα χλωρὰ τρία ἐσθιόμενα. κάλλιστον δὲ καὶ τοῦτο· ῥαφάνου ἀφέψημα καὶ ἰσχάδων ἀπόβρεγμα ἐν ταὐτῷ μίξας καὶ χλιάνας δίδου πίνειν. τὰ μὲν οὖν πλεῖστα καὶ περιεργότερα τῶν ἐμετικῶν παραιτητέον. δοτέον δὲ τὰς ῥαφανίδας νήστεσι προησιτικόσι καὶ προεμέσασιν ἀπὸ δείπνου. ἔστωσαν δὲ δριμεῖαι σφόδρα καὶ κατατετμήσθωσαν εἰς λεπτὰ πέταλα, ἀποβρεχέσθω δὲ τὰ τμήματα ἀφ᾽ ἑσπέρας ἐν ὄξει καὶ μέλιτι· ἐσθιέτω δὲ πλῆθος καὶ ἐπιρροφείτω συνεχῶς τοῦ ὀξυμέλιτος, εἶτα βαδίσας ἠρέμα ὅσον ὥρας β καὶ ὕδωρ χλιαρὸν πιὼν πλεῖστον ἐμείτω δακτύλου ἢ πτεροῦ καθέσει.

121 Σκευασία ῥαφανίδων δι᾽ ἐλλεβόρου λευκοῦ. Σκευάζονται δὲ καὶ ἄλλον τρόπον αἱ ῥαφανίδες ἐπὶ τῶν χρονίων παθῶν καὶ μοχλείας ἰσχυροτέρας δεομένων. ἐλλεβόρου γὰρ τοῦ λευκοῦ καὶ καλλίστου τῶν καρφίων < γ εἰς ῥαφανίδας καταπείρονται, προδιακεντουμένων καλάμῳ τῶν ῥαφανίδων, ἔπειτα εἰς τὰ κεντήματα καθιεμένων τῶν τοῦ ἐλλεβόρου καρφίων, μείναντα δὲ ταῦτα νύκτα ὅλην ἐν ταῖς ῥαφανίσι, τῇ ἐπιούσῃ ἡμέρᾳ ἀναιρεῖται, ἐγκαταλιπόντα τὴν δύναμιν αὐτῶν ταῖς ῥαφανίσιν· εἶτα τὰς ῥαφανίδας χρὴ διατέμνειν καὶ ἀποβρέχειν τῷ ὀξυμέλιτι, ὡς προείρηται, καὶ διδόναι ὁμοίως ἐσθίειν· δεῖ δὲ κατανοεῖν ἀκριβῶς μή τι τοῦ φλοιοῦ τοῦ ἐλλεβόρου ἐναπομείνῃ ταῖς ῥαφανίσιν. Ἐκ τῶν Ἀντύλου καὶ Ποσειδωνίου· Τίσι δοτέον αὐτὸν τὸν ἐλλέβορον καὶ τίσι μή.

122 αὐτὸν δὲ τὸν ἐλλέβορον δοτέον τοῖς χρονίως καὶ ἰσχυρῶς νοσοῦσι καὶ τὴν ἐκ τῶν ἄλλων βοηθημάτων ἀφῃρημένοις ἐλπίδα. δοτέον οὖν αὐτὸν ὑδρωπικοῖς ἐλεφαντιῶσι καχέκταις παραλελυμένοις χρονίοις ἐπιληπτικοῖς καὶ μελαγχολικοῖς ἀρθριτικοῖς τε καὶ ποδαγρικοῖς· τὸ δὲ ἐξαριθμεῖν ἐφ᾽ ὧν παθῶν εὐδόκιμός ἐστιν ὁ ἐλλέβορος οὐ ῥᾴδιον διὰ τὸ πλῆθος, ὥστε ἄμεινον λέγειν τίνα νοσήματα πρὸς ἐλλέβορον ἀνεπιτήδεια. ἀνεπιτήδειος μὲν οὖν ἐλλέβορος αἵματος ἀναγωγῇ ὀρθοπνοίᾳ πνιγώδει ἐπί τε μελετωμένης ὑποχύσεως, ἐπί τε τῶν περὶ κεφαλὴν παθῶν, ὅσα ἐκ διαλειμμάτων βιαίας ἐπάγει τὰς ὀδύνας μετ᾽ ἐρεύθους τοῦ προσώπου καὶ τῆς τῶν ἀγγείων διατάσεως, ἐπί τε τῶν ὑστερικῶς πνιγομένων καὶ τῶν συνεχῶς λειποθυμούντων. Τί δύναται ἐλλέβορος ποιεῖν.

123 Δύναται δὲ ὁ ἐλλέβορος μεταποιῆσαι τὰ σώματα καὶ μεθαρμόσαι τὴν κρᾶσιν αὐτῶν, νεαρωτέραν καὶ ἰσχυροτέραν κατασκευάζων. Ὅτι πολλοὶ λαβόντες ἐλλέβορον οὐδὲν μὲν ἤμεσαν, ὠφελήθησαν δὲ οὐδὲν ἧττον τῶν καθαρθέντων, πολλοὶ δὲ λαβόντες τὸν ἐλλέβορον καὶ πέψαντες αὐτὸν ἐκαθάρθησαν μὲν οὐδὲν ὅλως, ὠφελήθησαν δὲ οὐδὲν ἧττον τῶν ἰσχυρῶς καθαρθέντων.

125 Τίνες μᾶλλον ἐπιτήδειοι πρὸς ἐλλέβορον. Ἄνδρες πρὸς ἐλλέβορον ἐπιτηδειότεροι τῶν γυναικῶν καὶ τούτων αὐτῶν οἱ ἰσχυρότεροι τὴν ἕξιν· οἱ δὲ γυναικώδεις καὶ οἱ τὴν ἕξιν καταπίμελοι σφόδρα ἢ κάτισχνοι ἢ τὸν θώρακα ἄσαρκοι καὶ οἱ μακραύχενες ἀνεπιτηδειότεροι τῶν ἄλλων καὶ παῖδες καὶ οἱ γεγηρακότες ἀνεπιτήδειοι καὶ οἱ ψυχροὶ τὴν κρᾶσιν σφόδρα καὶ οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα καὶ πολὺ αἷμα καὶ χρηστὸν κεκτημένοι ἄθετοι καὶ οἱ δυσεμεῖς καὶ οἱ δειλοὶ τὸ ἦθος τῆς ψυχῆς. Καιροὶ καθολικοὶ καὶ μερικοὶ ἐπιτήδειοι εἰς ἐλλεβορισμόν.

126

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὥρα δὲ ἐαρινὴ ἐπιτηδειατάτη, δεύτερον δὲ τὸ φθινόπωρον, θέρος δὲ ἀκατάλληλον. δῆλον δὲ ὅτι οὐδὲ χειμών, μὴ μεγάλης πάνυ ἀνάγκης καλούσης, καὶ τό τε χειμῶνος μὲν οἱ σφόδρα θερμοὶ τὴν κρᾶσιν, θέρους δὲ οἱ πρεσβύται· κατάστασις δὲ ἐπιτήδειος αἰθέριος καὶ θερμὴ καὶ εὐήλιος· ἐπὶ δὲ νοσημάτων ἐφ’ ὧν μὲν διαλείμματά ἐστιν, ἐν τοῖς διαλείμμασι δοτέον, ἐπὶ δὲ τῶν ἄλλων ὁπόταν τύχῃ· ἐπὶ δὲ τῶν τεταρταίων καὶ ἐπὶ τῶν τὰ ἔντερα ῥευματιζομένων ἐν αὐταῖς ταῖς ἐπισημασίαις. Περὶ δοκιμασίας ἐλλεβόρου.

127 Κράτιστος ἐλλέβορος ὁ ἀπὸ μιᾶς ῥίζης πάνυ πολλὰ ἔχων κάρφη, καὶ ταῦτα μικρὰ καὶ τετανὰ καὶ ἄφυσα καὶ οὐκ ἀπολήγοντα εἰς ὀξὺ οὐδὲ μυουρίζοντα· λευκὰ δὲ σφόδρα ἔνδοθεν, ἐκτὸς δὲ ὠχρότερα ὑπάρχει βαρέα ἐντεριώνην ἔχοντα εὔθρυπτα, οὐ καμπτόμενα διὰ μαλακότητα ἀλλὰ καταγνύμενα καυληδόν, καπνῶδές τι ἐν τῇ θραύσει ἀνιέντα καὶ τοῦτο καθαρόν· τὸ γὰρ κονιορτῶδες παλαιὸν δηλοῖ τὸν ἐλλέβορον. ὁ δὲ ἀγαθὸς διαμασηθεὶς πρῶτον μὲν γλυκύτητος ἔμφασιν παρέχει, αὖθις δὲ δριμύτητος βραχείας· μετὰ δὲ τοῦτο πύρωσιν ἰσχυρὰν ἐμποιεῖ περὶ τὸ στόμα καὶ σίελον ἄγει πολὺν καὶ τὸν στόμαχον ἀνατρέπει. δεῖ δὲ ἔαρος ἀνῃρῆσθαι τὸν ἐλλέβορον, ἔτι τῆς ῥίζης ἐγκύμονος οὔσης. Ὅπως χρὴ διαιτᾶν τοὺς μέλλοντας ἐλλεβορίζεσθαι.

128 Ἐπιμελέστατα προδιητῆσθαι προσήκει τοὺς μέλλοντας ἐλλεβόρῳ χρῆσθαι· τῶν γὰρ σωμάτων κατισχνωθέντων οὐκ ἀκίνδυνος ἡ δόσις γίγνεται. πρὸ δὲ τριῶν ἡμερῶν ἀπεχέσθωσαν κρεῶν καὶ τῶν λοιπῶν παχυχύμων ἐδεσμάτων καὶ πομάτων. ἐθίζειν δὲ ἑαυτοὺς καὶ πρὸς ἔμετον καὶ τρὶς καὶ τετράκις προεμεῖν ἀπὸ δείπνου καὶ ἡ γαστὴρ ὑπαγέσθω· προειπόντα δὲ χρὴ τοῖς οἰκείοις τοῦ κάμνοντος τὸν ἐσόμενον ἀγῶνα, οὕτως χρῆσθαι τῷ βοηθήματι. Πόσαι διαφοραὶ τῆς δόσεως τοῦ ἐλλεβόρου.

129 Δίδοται δὲ διαφόρως ὁ ἐλλέβορος· οἱ μὲν γὰρ ἀφέψημα τοῦ ἐλλεβόρου διδόασιν, οἱ δὲ ἀπόβρεγμα, οἱ δὲ αὐτὴν τὴν οὐσίαν αὐτοῦ καὶ οἱ μὲν ψαλιστὸν διδόασιν, οἱ δὲ κόψαντες καὶ σήσαντες. ὁ μὲν οὖν ψαλιστὸς ταχέως ἄρχεται καθαίρειν ὡς ἐπίπαν μετὰ ὥρας β , χολὴν δὲ καὶ φλέγμα ἐξάγων ἄνευ πολλοῦ σπαραγμοῦ καὶ αὐτὸς συνεξεμεθείς, ἐν ὥραις τέτρασιν ἢ ε παύει τὴν κάθαρσιν. ὁ δὲ χνοώδης σφόδρα μὲν βραδέως ἐνεργεῖ, ὡς καὶ μετὰ τέσσαρας ὥρας ἢ ε πολλάκις ἄρχεσθαι. πάντα δὲ τὰ εἴδη χολῆς καὶ φλέγματος ἐξάγει καὶ εἰς κίνδυνον συνολκῆς καὶ ὑπερκαθάρσεως καθίστησιν· ἐπὶ πλεῖστον δὲ χρόνον παρατείνει καθαίρων, ἀλλὰ τήν γε ὠφέλειαν πολλαπλασίῳ παρέχεται. Περὶ ἀποβρέγματος ἐλλεβόρου.

130 Ἀπόβρεγμα ἐλλεβόρου δίδοται γέρουσι καὶ παισὶ καὶ τοῖς τὴν ἕξιν διερρυηκόσι καὶ τοῖς νόσημα εὔλυτον ἔχουσι· δίδοται δὲ καὶ εἰς μελέτην ἐλλεβορισμοῦ· χρὴ δὲ ε < ἐν ὕδατος ὀμβρίου ἡμίσει κοτύλης βρέχειν ἐψαλισμένον ἡμέρας Γ , ἔπειτα διηθήσαντα καὶ θερμάναντα προσφέρειν ὅλον τὸ ἀπόβρεγμα. Περὶ ἀφεψήματος ἐλλεβόρου.

131 Ἀφέψημα δὲ ἐλλεβόρου δοτέον τοῖς τε προειρημένοις καὶ τοῖς ἔτι τούτων εὐτονωτέροις μαινομένοις τε καὶ μελαγχολικοῖς. σκευάζεται δὲ τὸν τρόπον τοῦτον· ἐλλεβόρου λι′ α ὕδατος ὀμβρίου ξ/ε β ψαλίσας βρέχε ἐπὶ ἡμέρας γ , ἔπειτα ἕψε ἐπ’ ἀνθράκων μαλακωτέρων, ἄχρις ἂν λειφθῇ τὸ τρίτον· ἔπειτα διηθήσας ἐπίβαλλε τῷ ἀφεψήματι μέλιτος ἀπηφρισμένου πρωτείου λι τρι β καὶ ἕψε ἕως μελιτώδους συστάσεως· καὶ δίδου κοχλιάριον μέγα ἐκλείχειν. ἔξεστι δὲ καὶ ὕδατι θερμῷ κεράσαντα διδόναι. καὶ μετὰ ῥοφήματός τινος οὔτε σπασμοὺς οὔτε συνολκὰς οὔτε ὑπερκάθαρσιν τοῦτο ἐπιφέρει. μελέτην δὲ ἐμποιεῖ τῷ βουλομένῳ πρὸς ἐρεθισμόν, ὥστε θαρροῦντα καὶ τὸν ψαλιστὸν λαμβάνειν. Περὶ τοῦ ψαλιστοῦ καὶ τοῦ κοπτομένου καὶ τοῦ σηθομένου.

132 Τοῖς δὲ ἀνασκευῆς καὶ μοχλείας πλείονος δεομένοις καὶ ἰσχυροτέροις καὶ θαρραλεωτέροις καὶ εὐκόλως ἐμοῦσι τὸν ψαλιστὸν δοτέον, τοῖς δὲ ἔτι τούτων τολμηροτέροις ἢ καὶ ἐν ἔθει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενομένοις κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ δίδου. τὸν δὲ ψαλιστὸν οὕτως δίδου· τὰ κάρφη λαβών, τέμνε ψαλίδι εἰς ἀλφιτώδη μεγέθη ἢ πιτυρώδη· ἔπειτα ἐκμάξας ὀθονίῳ τὸν χνοῦν καὶ ἀφελὼν τὰ πάνυ λεπτὰ θραύματα, ἵνα μὴ πνιγώδης γένηται, δίδου, τοῖς μὲν δειλοτέροις μετὰ πτισσάνης χυλοῦ ἢ ἄλικος συνεψήσαντες βραχύ, τοῖς δὲ ἰσχυροτέροις μεθ’ ὕδατος θερμοῦ ἢ μελικράτου, ἀναγκάζοντες αὐτοὺς ἐπιρροφεῖν τοῦ μελικράτου καθαροῦ ἢ τοῦ ὕδατος πρὸς τὸ μὴ ἐγκαταλείπεσθαί τι τοῦ ἐλλεβόρου ἐν τῇ φάρυγγι ἢ ἐν τῷ στομάχῳ. ἡ δόσις δὲ ἡ τελειοτάτη τοῖς ἰσχυροῖς τοῦ μὲν ψαλιστοῦ < βς , τοῦ δὲ κριμνώδους < α καὶ ὀβολοὶ δ , τοῦ δὲ χνοώδους < α καὶ ὀβολοὶ β . κόπτομεν δὲ τὸ κριμνῶδες ἐν ὅλμῳ καὶ σήθοντες λεπτοτάτῳ κοσκίνῳ καὶ τὸ λεπτότατον ἀφαιροῦντες, δίδομεν αὐτοῖς τὸ ἁδρότερον μετὰ χόνδρου ἄλικος ἢ μάζης ἀλφίτων· τὸ δὲ λεπτὸν κόπτομεν καὶ σήθομεν ἀκριβῶς, κἄπειτα σὺν μέλιτι κατέφθῳ στερεωτάτῳ ἀναπλάττοντες, εἰς καταπότια διδόαμεν. Τίνα δεῖ προπαρασκευάζειν ἐπὶ τῆς δόσεως.

133 προπαρασκευαζέσθω δὲ αὐτοῖς πρὸς τὴν βοήθειαν τῶν σπαραγμῶν τε καὶ λειποθυμιῶν καὶ σπασμῶν τάδε· ὕδωρ θερμὸν καὶ ψυχρὸν ἀφέψημα ὑσσώπου μέλι πήγανον γλήχων ὄξος μῆλα ἄρτος θερμὸς οἶνος ὀρνίθιον ἡψημένον ἔλαιον κοινὸν καὶ σικυώνιον ἅλες χαλβάνη καστόριον ἀπόβρεγμα ἐλλεβόρου ἔλαιον κύπρινον ἢ ἴρινον ἢ ναρκίσσινον πτερὰ πταρμικὰ σικύαι διάφοροι φορεῖον κλίνη στρωμνὴν ἁπαλὴν ἔχουσα κλυστήρ. Πῶς ἐπιμελητέον αὐτῶν μετὰ τὴν πόσιν.

134 Εἰ μὲν εὐκόλως καθαίροιντο μετὰ τὸ πιεῖν τὸ φάρμακον, δώσομεν αὐτοῖς ψυχρὸν ὕδωρ καταρροφεῖν ἢ διακλύζεσθαι, ἔπειτα ὀσφράναντές τινι τῶν τονωτικῶν, κελεύσομεν καθῆσθαι ἢ κατακλίνεσθαι καὶ ἐν ἡσυχίᾳ μένειν μέχρις ὡρῶν β , πρὸς τὸ μὴ ταχύτερον τοῦ δέοντος ἐξεμεθείη τὸ φάρμακον· μετὰ δὲ ταῦτα κελεύσομεν κινεῖσθαι. ἀντίληψις δὲ αὐτοῖς θέρμης πρῶτον περὶ τὸν στόμαχον καὶ τὴν κατάποσιν γίγνεται, ἔπειτα σίελον αὐτοῖς εἰς τὸ στόμα πολὺ συνδοθήσεται, εἶτα μέρος τῆς τροφῆς καὶ τοῦ φαρμάκου μετὰ φλέγματος ἐμοῦσιν, ἔπειτα φλέγμα καὶ χολὴν καὶ τοῦ φαρμάκου, εἶτα καθαρὰν χολήν. πολλάκις δὲ καὶ ἡ γαστὴρ ὑπέρχεται κάτω· ὅτε δὲ καὶ εὐφορωτέρα ἡ κάθαρσις γίγνεται, λύζουσι κούφως καὶ τὸ πρόσωπον ἐνερευθὲς ἔσται. εὐκόλως δὲ ἰούσης τῆς καθάρσεως, καὶ τὸ πρόσωπον εὐχροήσει καὶ ὁ λυγμὸς παύσεται. τοῖς δὲ κατὰ μέσην τὴν κάθαρσιν λύζουσι μελίκρατον προσοίσομεν ἐναφηψημένου πηγάνου καὶ χλιαρὸν ὕδωρ ποτόν, εἶτα καθαρθέντας λούσομεν καὶ τροφὴν εὐστόμαχον προσοίσομεν. χρονιζούσης δὲ τῆς καθάρσεως διδόναι χρὴ μελίκρατον θερμὸν καταρροφεῖν ἐναφηψημένου πηγάνου ἢ ὑδρέλαιον καὶ πτερὰ βάπτοντας κυπρίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἤ τινι τῶν ὁμοίων ἐρεθίζειν καὶ κατακλίνοντας ἐν κλινιδίῳ κρεμαστῷ κινεῖν· εἰ δὲ πάνυ ἐνοχλοῖντο πνιγόμενοι, ἀποβρέγματος ἐλλεβόρου τρεῖς κυάθους προσοίσομεν· τῇ γὰρ ποιότητι συνεργεῖ πρὸς κάθαρσιν· εἰ δὲ ὁ κατὰ πνιγμὸν κίνδυνος μηδὲ οὕτως παρηγοροῖτο, δριμυτάτῳ κλύσματι κενώσομεν. δώσομεν δὲ αὐτοῖς καὶ χαλβάνης ὅσον τριώβολον καταπίνειν, οὐχ ἵνα ἔμετον κινήσωμεν, ἀλλ’ ἵνα τὸν πνιγμὸν παύσωμεν. πταρμικόν τε τῶν ἰσχυρῶν προσοίσομεν, κινοῦντες διὰ τῆς κρεμαστῆς κλίνης συνεχέστατα καὶ πτερῶν καθέσει ἐρεθίζοντες· ἀρχομένων δὲ καθαίρεσθαι, παρηγορεῖν τὸν λυγμόν, ὡς προείρηται· εἰ δὲ καὶ σύντονος εἴη ὁ λυγμὸς πταρμικῷ μικρῷ χρησόμεθα καὶ σικύας καθ’ ὅλης τῆς ῥάχεως προσοίσομεν, καὶ μάλιστα κατὰ τοῦ μεγάλου σπονδύλου τοῦ μεταφρένου, κατασπῶντες αὐτὰς ἐπὶ τὴν ῥάχιν· αἱ γὰρ ἐπινομαὶ τῶν σικυῶν πολλάκις ἀπευθύνουσι τὸν στόμαχον συνελκόμενον καὶ οἱονεὶ σκολιούμενον ὑπὸ τοῦ λυγμοῦ· τά τε ἄκρα διαδήσομεν καὶ θάλψομεν καθιέντες εἰς ὕδωρ θερμόν. τὰς δὲ ἐπί τινων παρεπομένας συνολκὰς τῶν σκελῶν μάλιστα καὶ χειρῶν—εἰώθασι γὰρ τοῖς πλείστοις αὐτῶν συνεδρεύειν, — παρηγορήσομεν λιπαίνοντες ἰσχυρῶς, θάλποντές τε καὶ πυριῶντες καὶ ἀνατρίβοντες τὰ ἄκρα καὶ τοὺς ἐν ταῖς γαστροκνημίαις μῦς. ἔστω δὲ τὸ ἔλαιον σικυώνιον ἢ

τῶν μαλακτικῶν ἀκόπων καὶ καστόριον δὲ τῷ ἀλείμματι προσπλέξομεν καὶ ἐν πότῳ προσενέγκωμεν. μάλιστα δὲ ὀνίνησι τοὺς συνελκομένους λουτρόν, εἰ παρείη, εἰ δὲ μή, ἐν σκάφῃ ἢ τῇ καλουμένῃ βούττῃ ἐμβιβάσομεν, ἀλείψαντες ἐλαίῳ πολλῷ γλυκεῖ ὅλον μὲν τὸ σῶμα, μάλιστα δὲ τὰ συνελκόμενα μέρη. ἔστω δὲ τὸ ὕδωρ εὔκρατον, ὡς δυνηθῆναι πλείονα χρόνον ἐπιμεῖναι· παυσαμένου δὲ τοῦ σπασμοῦ, παυσαμένης δὲ καὶ τῆς καθάρσεως, αὐτίκα τρέφειν, ἄρτον διδόντας οἴνῳ κεκραμένον διάβροχον ἢ ὀμφακομέλιτι ἐπὶ τῶν σφόδρα κενωθέντων. εἰ δὲ καὶ θερμότητος αἴσθησις περὶ τὸν στόμαχον μετὰ τροφὴν γένοιτο, θερμῷ κεράσαντες τὸ ὀμφακόμελι δώσομεν πίνειν, ἐνίοτε δὲ καὶ ψυχρῷ τὴν δευτέραν κεράσας δίδου. αἱ δὲ μετὰ ταῦτα τροφαὶ εὔχυμοι πᾶσαι ἔστωσαν καὶ οἶνος λεπτὸς καὶ μὴ πάνυ παλαιός. Περὶ ὑπερκαθάρσεως. [45]

135 Τὰς δὲ ὑπερκαθάρσεις στήσομεν θερμῷ ποτίσαντες καὶ τῇ διαθέσει τῶν ἄκρων καὶ τρίψει σφοδρᾷ καὶ σικύαις κατὰ ὑποχονδρίων καὶ μεταφρένου τιθεμέναις. ἄκρως δὲ ἀψινθίου πόσις ἐπέχει ἐμέτους· εἰ δὲ ἐπιμένοιεν, καὶ τοῖς ἀνωδύνοις ὑπνωτικοῖς χρησόμεθα· καὶ γὰρ τὰς καθάρσεις ἵστησι τὰ τοιαῦτα, ξηραντικὰ ὄντα. καὶ ὁ ὕπνος δὲ σταλτικός ἐστιν ἐκκρίσεως. ἐπιγίγνεται μέντοι ὕπνος αὐτομάτως τοῖς καλῶς καθαρθεῖσι διὰ τοῦ ἐλλεβόρου, πολὺς καὶ βαθύς, ἐὰν μὴ κινδυνεύειν μέλλωσιν, οἷς τοσοῦτον δεῖ συγχωρεῖν ὑπνοῦν, ἐφ’ ὅσον ἔχονται τῷ ὕπνῳ. εἰ δὲ ἱδρῶτες ἄμετροι ἐπιγένοιντο, στήσομεν ῥιπίζοντες τὸ σῶμα καὶ σπογγίζοντες ἐκ ψυχροῦ ἢ ὀξυκράτου, ἐμπλάσμασί τε χρησόμεθα στύφουσι καὶ ἐμπλάττουσι καὶ τῇ λοιπῇ ἐπιμελείᾳ τῇ ἐπὶ καρδιακῶν λεχθησομένῃ. Ἐπιθέματα καθαρτικά. [10]

136 Κολοκυνθίδος ἐντεριώνης εὐζώμου σπέρματος πηγάνου ἀγρίου ἐλατηρίου κόκκου κνιδίου λαθυρίδων κεκαθαρμένων χαλβάνης κηροῦ νίτρου ἐρυθροδάνου ἀνὰ < δ ὀποπάνακος < β τερεβινθίνης < ς . κοπτόν ἐστι τὸ φάρμακον, ἐπιβαλλομένης χολῆς ταυρείας κατὰ βραχύ, ὅσον ἐπιδέχεται. καὶ εἰ μὲν κατὰ τοῦ ὀμφαλοῦ ἐπιτεθῇ κατὰ βραχὺ μέχρι τοῦ ἐφηβαίου, τὴν κάτω κοιλίαν κινεῖ· εἰ δὲ κατὰ τῆς γαστρός, τὴν ἄνω δι’ ἐμέτων. Ἄλλο· νίτρου ἐρυθροῦ πελεκίνου σπέρματος κολοκυνθίδος ἐντεριώνης χολῆς ταυρείας σταφίδος ἀγρίας περιστερᾶς κόπρου σικύου ἀγρίου ῥίζης σκίλλης λινοζώστεως ἴσον ἑκάστου, κόψας σήσας ἀναλάμβανε τῇ χολῇ καὶ μέλιτι ἀρκοῦντι καὶ μαλαγματῶδες ποιήσας χρῶ. Ἐπίθεμα ἄλλο. Ἐπαγγελλόμενον αἷμα διὰ ῥινῶν ἄγει κατὰ τοῦ μετώπου ἐπιτιθέμενον. ὅταν δὲ βούλῃ στῆσαι, φησί, τὸ αἷμα ἄρας αὐτό, ἀπόμασσε ἀκριβῶς τὸν τόπον σπόγγῳ ἐξ ὀξυκράτου ἢ ὕδατος ψυχροῦ· κατὰ δὲ τοῦ ὑπογαστρίου ἐπιτιθέμενον τετράγωνον δακτύλων δ κινεῖ καταμήνια καὶ ἔμβρυα φθείρει. ἐπιτίθεται καὶ νεφροῖς ἐν τοῖς παροξυσμοῖς. ἡ δὲ σύνθεσις αὕτη· κηροῦ χαλβάνης εὐφορβίου στρουθίου ῥίζης ἀνὰ ℥ α ἀστραγάλων ἐλαφείων κεκαυμένων < δ ἀψινθίου χυλοῦ < δ τερεβινθίνης ὑγρᾶς < δ · τὰ ξηρὰ λειώσας σήσας λείου πάλιν μετὰ χολῆς μοσχείας, ὡς γλοιῶδες γενέσθαι καὶ ἐπίχεε τὰ τηκτὰ καὶ ἑνώσας, χρῶ, φησιν, ὡς παραδόξῳ. Ἄλλη ἔμπλαστρος καθαρτικὴ ᾗ χρῶμαι, καλουμένη χεζανάγκη, αὕτη ἐπιτιθεμένη τῷ ὀμφαλῷ, κινεῖ τὴν κάτω κοιλίαν· ἐπὶ δὲ τοῦ θώρακος καὶ τοῦ στομάχου ἐπιτιθεμένη ἔμετον κινεῖ, μέχρις οὗ ἄρῃ τὸ σπληνίον· ἔμμηνα δὲ ἄγει ταῖς γυναιξὶ καὶ ἔμβρυα φθείρει, κατὰ τοῦ ὑπογαστρίου καὶ τῆς ὀσφύος ἐπιτιθεμένη. ἡ δὲ σύνθεσις αὕτη. κόκκου κνιδίου < γ λίθου ἀσίου < ι ἐλλεβόρου λευκοῦ < δ αἰγείου στέατος < ε ἐλατηρίου < δ τιθυμάλλου ὀποῦ < δ ἀμόργης < ιβ χολῆς ταυρείας < ιβ ἀφρονίτρου < ε θέρμων πικρῶν ἀλεύρου ℥ β · ἀψινθίου κόμης < β · τὰ μὲν ἄλλα κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα λείου ἐπιβαλὼν τὴν χολήν, εἶτα τὴν ἀμόργην καὶ τήξας τὸ στέαρ κατάχεε καὶ ἑνώσας χρῶ. Ἐπομφάλιον καθαρτικόν. Τὸ αὐτὸ καὶ ἔμετον κινεῖ ἐπιτιθέμενον τῇ γαστρὶ καὶ καταμήνια ἄγει, τὰ μὴ διὰ μύσιν τῶν ἀγγείων ἐπεσχημένα καὶ ἔμβρυα φθείρει ἐπιτιθέμενον τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύι. ἀψινθίου κυκλαμίνου χυλοῦ τῆς ῥίζης ἀρτεμισίας ἐλατηρίου ἀνὰ < ς κολοκυνθίδος ἐντεριώνης < ι νίτρου ἐρυθροῦ < η σικύου ἀγρίου ῥίζης θέρμων ἀλεύρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χελιδονίου λευκοίου σπέρματος ἀνὰ < ϛ ὀποπάνακος < β κηροῦ < ρ τερεβινθίνης < ν κυπρίνου < η ἢ τὸ ἀρκοῦν. ἐπιτεθὲν δὲ καὶ κινῆσαν τὴν κοιλίαν ἀναβαστάζειν αὐτὸ χρὴ εὐθέως. Ἄλλο ἐπομφάλιον καθαρτικόν, ποιεῖ καὶ κοιλιακοῖς. Κηροῦ ꟻ θ τερεβινθίνης Γ ρʹ ϛ ἐλατηρίου Γ ρʹ Γ σταφυλίδος ἀγρίας Γ ρʹ α ϛ καστορίου κεγχρίου σαμψύχου δαφνοκόκκων κόκκου κνιδίου θέρμων ξηρῶν κολοκυνθίδος ἐντεριώνης ἀνὰ ꟻ α ϛ σκαμμωνίας ꟻ α χολῆς ταυρείας ꟻ α κηροῦ ꟻ β στέατος χηνείου ꟻ Γ . Ἄλλο. Σικύου ἀγρίου ὀπὸν καὶ κυκλαμίνου χυλὸν μίξον μέλιτι ἴσον, ἀκριβῶς αὐτὰ ἑνώσας ἐν ἡλίῳ ἢ ἐπὶ θερμοσποδίᾳ καὶ χρῶ ἐπιχρίων ἀπὸ ὀμφαλοῦ μέχρις ἐφηβαίου. Ἄλλο. Ἐλατηρίου < γ κολοκυνθίδος < α σκαμμωνίας λεπίδος χαλκοῦ σικύου ἀγρίου ῥίζης ἀνὰ < α λαθυρίδων ἢ ἀντ’ αὐτῶν τιθυμάλλου ὀπτοῦ κόψας σήσας λέαινε μετ’ ἐλαίου ἁλῶν πλεῖστον ἔχοντος καὶ σφαῖραν ἐρίαν ποιήσας μεγάλην καὶ δεύσας τῷ φαρμάκῳ ἐπιτίθει ὅπου βούλῃ, λέγω δὴ ἢ τῷ ἐπομφάλῳ ἢ τῷ ὑπογαστρίῳ καὶ ὀσφύι.

136 (50) Ἄλλο ἐπομφάλιον. Μεσπίλων χωρὶς γιγάρτων Γ ρʹ ιη σκαμμωνίας Γ ρʹ ιβ χαλκάνθου Γ ρʹ ιϛ σαγαπηνοῦ Γ ρʹ λβ λαθυρίδων Γ ρʹ ιβ κολοκυνθίδος τοῦ σπέρματος Γ ρʹ ιβ λεάνας ἀναλάμβανε ἐλαίῳ καὶ χρῶ. Ἄλλο ἐπομφάλιον. Κόκκου κνιδίου ἐλλεβόρου μέλανος ἐλατηρίου ἀψινθίου ἀνὰ ου ΓΓʹ δ σταφίδος ἀγρίας κάχρυος σαμψύχου δακρυοκόκκων θέρμων ξηρῶν πικρῶν κολοκυνθίδος ἐντεριώνης ἀνὰ Γ ρʹ α c σκαμμωμίας ꟻ α καὶ Γ ρʹ γ χολῆς ταυρείας κηροῦ ἀνὰ ꟻ β στέατος χηνείου ου ΓΓʹ γ . Σύνθεσις ἐλαίου ἤτοι ἀλείμματος καθαρτικοῦ. Χολῆς ταυρείας Γ ρʹ β ἐλατηρίου ꟻ α κόκκου κνιδίου χλωροῦ ꟻ δ θέρμων χλωρῶν χυλοῦ ꟻ β εὐφορβίου ꟻ α κολοκυνθίδος ἐντεριώδης ꟻ α στέατος ἀλώπεκος νεαροῦ ꟻ β στέατος ἐχίδνης ꟻ α ϛ μυοκόπρων < δ παιωνίας χυλοῦ < δ καστορίου < δ ἐλαίου κυπρίνου ꟻ ϛ ἐλαίου παλαιοῦ λίτραν μίαν· τὰ μὲν ξηρὰ κόπτε καὶ σῆθε λειοτάτῳ κοσκίνῳ, τὰ δὲ στέατα προμαλάξας ἱκανῶς ἐν θυίᾳ καὶ μάλιστα τὸ τῆς ἀλώπεκος· ἰνωδέστατον γάρ ἐστιν. εἶτα τήξας ἐπ’ ἀνθράκων μαλακωτάτων μετὰ τοῦ ἐλαίου, ἐπίπασσε αὐτοῖς τὰ λοιπὰ πάντα καὶ ἕψε ἐπὶ τῶν ἀνθράκων καὶ ἀπόθου ἐν ἀγγείῳ κασσιτερίνῳ πωμάσας ἀσφαλῶς, ἵνα μὴ διαπνεύσῃ καὶ ἀπόθου ἐν οἴκῳ ἀνωτέρω ἀνοτίστῳ ἡμέρας λ καὶ μετὰ ταῦτα χρῶ ἐπὶ πάντων καὶ πρὸς πᾶσαν διάθεσιν. ἀλύπως γὰρ καθαίρει· εἶτα δὲ σὺν τοῖς λοιποῖς καὶ τὰς τῆς διανοίας παραφοράς. ἐστὶ δὲ τὸ παραλαμβανόμενον ἐπὶ τῆς χρήσεως μέτρον τὸ πλεῖστον κοχλιαρίοις β . ἐπ’ ἐνίων δὲ καὶ ἓν μόνον. χρίσας γὰρ τὸν ὀμφαλὸν τελείαν ἐποιησάμην τὴν κένωσιν· εἰ δὲ ἀμέτρως φέροιτο ἡ γαστὴρ καὶ βούλει ἐπισχεῖν, σπόγγον ἐν οἴνῳ χλιαρῷ βάψας καὶ ἐκπιέσας ἀποσπόγγιζε καὶ στήσεται. Ἄλλο ἐπίθεμα κατὰ τοῦ ὀμφαλοῦ ἐπιτιθέμενον καὶ καθαῖρον τὸν σπλῆνα· ἐλλεβόρου μέλανος ꟻ γ ἐλλεβόρου λευκοῦ ꟻ δ ἀμμωνιακοῦ θυμιάματος γο Γ νίτρου [ἀνὰ] ꟻ Γ σκαμμωνίας ꟻ β πεπέρεως κόκκοιλ · κόψας σήσας ἀναλάμβανε τερεβινθίνῃ ὡς μαλαγματῶδες γενέσθαι καὶ προσμήχων τὸν τόπον καὶ προπυριῶν ἐπίπλασσε τετράγωνον πενταδάκτυλον καὶ ἐπιτίθει. ἐπὶ δὲ τὸν κτένα ἐπιτιθέμενον φθείρει τὰ ἔμβρυα. Ἐπίθεμα αἱμαγωγὸν ὥστε ὑπομνῆσαι αἱμορροίδας ἢ ἔμμηνα γυναιξίν. ἐλατηρίου σμύρνης χαλβάνης κριθίνου ἀλεύρου ἀνὰ < δ πηγάνου χλωροῦ φύλλων < β χολῆς ταυρείας τὸ ἀρκοῦν· λειότατα ποιήσας ἰδίᾳ ἕκαστον, ἔπειτα ἑνώσας ἐπίχεε τῆς χολῆς ὅσον ἐξαρκεῖ. ἐπὶ δὲ τῆς χρείας χρίε τὸν ὑπὸ τὸν ὀμφαλὸν τόπον καὶ τὰ πέριξ, ἐνίοτε δὲ καὶ τὴν ὀσφὺν καὶ ἄγει τὰ ἔμμηνα ἢ τὰς αἱμορροίδας. Περὶ τῶν τοπικῶν κενώσεων.

137 Περὶ μὲν οὖν τῶν καθαίρειν δυναμένων τὰ ἐν ὅλῳ τῷ σώματι γενόμενα περιττώματα, ἱκανὰ τὰ προειρημένα· καιρὸς δὲ ἤδη μεταβαίνειν ἐπὶ τὰς τοπικὰς κενώσεις. ἐκεῖνο δὲ ἐπὶ μνήμης ἔχειν σε ἀξιῶ παρ’ ὅλον τὸν λόγον, τὸ δεῖν πρῶτον ἅπαν τὸ σῶμα καθαρὸν καὶ ἀπέριττον ποιεῖν τοῖς προειρημένοις καθαρτικοῖς φαρμάκοις καὶ μετέπειτα τοῖς τοπικοῖς κενοῦσι κεχρῆσθαι. εἰ γὰρ πρὸ τῆς τοῦ παντὸς σώματος κενώσεως ἢ καθάρσεως διὰ τῶν τοπικῶν βοηθημάτων βουληθείης τὰς διαθέσεις τῶν μορίων ἐκθεραπεῦσαι, μεγάλοις κακοῖς περιβάλλοις τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κάμνοντα· πλείονα γὰρ ὁλκὴν τῆς ὕλης ἐπὶ τοὺς ἀσθενοῦντας τόπους ἐπισπάσῃ. Ὅσα ὀφθαλμῶν καθαρτικὰ καὶ ἀποδακρυτικά.

138 Τοῖς ἀποδακρυτικοῖς χρώμεθα ἐπὶ τῶν χρονίως κατεξηραμμένων ὀμμάτων καὶ ψωρωδῶν βλεφάρων καὶ κνησμωδῶν, τοῖς δὲ σμήχουσι καὶ ῥύπτουσιν ἐπὶ ἀμβλυωττόντων καὶ ἀρχὴν ὑποχύσεως εἰληφότων. ἐστὶ δὲ ἀποδακρυτικὰ καὶ σμηκτικὰ ταῦτα· μέλι ἔλαιον νέον καὶ τὸ παλαιὸν κίκινον ἀμυγδάλινον καρύινον σχίνινον τήλινον δάφνινον ἀνήθινον σούσινον νάρδινον ὀποβάλσαμον. χυλοὶ δέ εἰσιν ὀφθαλμοὺς καθαίροντες· ὄμφακος θρίδακος ἀγρίας λυκίου ἀκόρου ῥίζης χυλὸς χαμαίδρυος κενταυρίου χελιδονίου ὠκίμου κρομμύου πηγάνου ἀγρίου καὶ ἡμέρου καὶ τοῦ βησασᾶ ῥοιᾶς χυλὸς μαράθρου ἀναγαλλίδων ἀμφοτέρων πρασίου τριφύλλου ἐλλεβόρου λευκοῦ ἀνεμώνης. ὀποὶ δὲ σμύρνης θρίδακος ἀγρίας σαγαπηνοῦ ὀποπάνακος ὀπὸς κυρηναικὸς καὶ μηδικὸς ἀμμωνιακὸν θυμίαμα χαλβάνη λίβανος· ἀπὸ δὲ ζῴων χερσαίας χελώνης αἷμα αἰγείου ἥπατος ἰχὼρ καὶ σιλούρου καὶ χολὴ δὲ σιλούρου καὶ ὑαίνης αἰγὸς ἀλεκτορίδος πέρδικος γυπὸς ἄρκτου σκάρου καὶ καλλιωνύμου καὶ κοραξῶν ἰχθύων, στέατα δὲ ἐχίδνης ὀρνίθων ἰχθύων ποταμίων ὄρχεις κάστορος, κεκαυμένη δὲ ἡ τέφρα χελιδόνων νεοσσοὶ κεκαυμένοι σαῦραι κεκαυμέναι κέρας ἐλάφειον κεκαυμένον. μεταλλικὰ δέ· λίθος αἱματίτης καὶ σχιστὸς χαλκὸς κεκαυμένος χάλκανθος χαλκίτης μίσυ στυπτηρία πᾶσα λεπὶς χαλκοῦ μίλτος λίθος φρύγιος λίθος ἴασπις λίθος μαγνῆτις λίθος μοροξὸς λευκογραφὶς λεγόμενος καὶ ὁ γαλακτίτης. φυτὰ δέ· λιβάνου φλοιὸς ἐρείκης καρπὸς καὶ τὰ τούτοις ὁμογενῆ. Ὤτων καθαρτικά.

139 Μέλι οἰνόμελι γλυκὺς οἶνος ἔλαιον καρύινον ἀμυγδάλινον καθ’ αὑτὸ καὶ μετὰ χηνείου στέατος ἴρινον μετ’ ὄξους δάφνινον σῦκα ξηρὰ μετὰ σινάπεως κρομμύου χυλὸς μετὰ στέατος ὀρνίθων νίτρον μετ’ ὄξους ζιγγίβερι μετὰ στυπτηρίας καὶ ὄξους καὶ ὕδατος ἀφρόνιτρον μετὰ μέλιτος καὶ ὄξους στυπτηρία μετὰ ὄξους γῆρας ὄφεως μετ’ ὄξους χολὴ βοὸς χολὴ χοιρεία χολὴ πᾶσα καὶ τῶν ἰχθύων σεύτλου χυλὸς καππάρεως φύλλων χυλὸς ῥαφάνου φλοιοῦ χυλὸς λινοζώστεως χυλὸς βδέλλιον χαλβάνη καστόριον κασσία ἐλλέβορος λευκὸς καὶ μέλας στρούθιον καππάρεως φύλλα μετ’ ἐλαίου ἡψημένα ὄξος μέλι νίτρον ὕδωρ θερμὸν ἅμα ἐγχεόμενα. εὐθετεῖ δὲ τὰ προειρημένα, τινὰ μὲν πρὸς κνησμονάς, τινὰ δὲ πρὸς ἕλκη, τινὰ δὲ πρὸς τὰ ἐμπίπτοντα τῷ πόρῳ, τὰ πλεῖστα δὲ πρὸς ῥύπους σκληρότητα καὶ πρὸς ἤχους καὶ δυσηκοίας καὶ κωφώσεις· ὠφελεῖ δὲ τὰ τοιαῦτα καὶ κεφαλῆς ἀλγήματα χρόνια καὶ ἐπιληψίας. Ὅσα ἐκ ῥινῶν καθαίρει.

140 Διὰ ῥινῶν δὲ καθαίρει τὴν κεφαλὴν σεύτλου ῥίζης χυλὸς ἐλατήριον ἀναγαλλίδος τῆς κυανοῦν ἄνθος ἐχούσης ὁ χυλὸς ἴρινον ἔλαιον ἀμυγδάλινον κυκλαμίνου ῥίζης χυλὸς καὶ αὐτὴ ξηρὰ λεῖα ἐμφυσωμένη πέπερι νίτρον χάλκανθος μέλι θλάσπι ἐλλέβορος λευκὸς εὐφόρβιον στρούθιον καστόριον καλαμίνθη μελάνθιον ἶρις πράσιον ἀνεμώνη. προσάγεται δὲ ταῦτα ταῖς ῥισὶ χάριν τῶν περὶ τὴν κεφαλὴν χρονίων διαθέσεων καὶ ἐπιληπτικοῖς, μάλιστα ἰκτεριῶσιν ὀφθαλμοῖς δυσηκοίαις ἀμβλυωπίαις ῥινῶν σφηνώσεσι χρονίαις καὶ ἐπὶ ὀσφρήσεως βλαβείσης καὶ τοῖς κυνικῶς σπωμένοις. Ὅσα ὑγρασίαν ἕλκει ἐκ στόματος.

141 Σχοῖνος καὶ τὰ φύλλα αὐτῆς καὶ τὸ ἀπορρέον αὐτῆς ῥητινῶδες, μαστίχη μετὰ σταφίδος ἀγρίας ἢ πέπερι κόκκος κνίδιος σίνηπι μετ’ ὀξυμέλιτος καὶ νίτρου ἀναγαργαριζόμενον. ἱκανὸν φλέγμα κενοῖ λαπάθου ῥίζα μετ’ ὄξους ἑψηθεῖσα πύρεθρον καππάρεως φλοιὸς δάδινον ξύλον μέλι ὀρίγανον θύμος γλήχων ὕσσωπον ῥοῦς μετὰ μέλιτος στυπτηρία χαλκίτης μίσυ μυρίκης καρπὸς τερεβινθίνης μετὰ μέλιτος ὀμφάκιον ὀπὸς σιλφίου καὶ ὁ κυρηναικὸς κασσία καὶ πᾶσαι αἱ στοματικαὶ διάχριστοι· τὰ μέντοι δραστικὰ ἐπὶ τῶν κεχρονισμένων παθῶν παραληπτέον προδιακλυζομένου ἐλαίου, ὅπως μὴ δριμύτης παρεμποδὼν γένηται τῇ χρήσει· προσακτέον δὲ ταῦτα τοῖς περὶ τὴν κεφαλὴν πάθεσι πᾶσι κεχρονισμένοις καὶ ἀμβλυωπίαις καὶ βαρυκοίαις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χωρὶς ἀλγημάτων γλώσσης καὶ γεύσεως παρέσεσι παρωτίσι συνάγχαις ἐξανθήμασι περὶ κεφαλὴν ἢ πρόσωπον καὶ τοῖς κυνικῶς σπωμένοις. ἀποθεραπείας δὲ ἕνεκα παραληπτέον ὕστερον ὕδωρ θερμὸν ἕψημα μελίκρατον γάλα ἀπόβρεγμα ψιχῶν ἢ πτισσάνης χυλόν. Ὅσα γάλα γεννᾷ καὶ κινεῖ.

142 Γεννᾶν γάλα καὶ κινεῖν πέφυκε πινόμενον 〈σήσαμον〉 πτισσάνη μετὰ μαράρθου ἡψημένη μάλιστα χλωροῦ· εἰ δὲ μή, μετὰ τοῦ σπέρματος αὐτὰ τὰ μάραθρα χλωρὰ ἐσθιόμενα καὶ ἄνηθον σήσαμον ἄνισον λινόσπερμα κύμινον κέγχρου ἄλευρον ἑφθῶν πυρῶν ἀφέψημα εὔζωμον χλωρὸν σικύου σπέρμα· καταχριόμενα δὲ τοῖς μαζοῖς προκαλεῖται καὶ κινεῖ γάλα γῆς ἔντερα μελάνθιον ταύρου χολὴ κριθῶν βεβρεγμένων τὸ χύλισμα ἀνδράχνης χυλὸς στέαρ χηνὸς κηρὸς θεῖον σκωρία σιδήρου· ταῦτα παραλαμβάνεται ἐφ’ ὧν ἐκλείπει τὸ γάλα. Πνεύμονος καὶ θώρακος καθαρτικά.

143 Κνίδης σπέρμα δαύκου σπέρμα λινόσπερμα σελίνου σπέρμα θύμος ῥαφάνου σπέρμα καὶ αὐτὴ ἐσθιομένη νάπυ σήσαμον κάρδαμον ἐρύσιμον καρδάμωμον σικύου σπέρμα μελάνθιον πέπερι πήγανον πόλιον πράσιον δαφνίδες κασσία ἄρον δρακόντιον βολβὸς κρόμμυον σκόρδον μάλιστα κόστος ἄμωμον ναρδόσταχυς θεῖον στύραξ χαλβάνη τερεβινθίνη σμύρνα ὀποπάναξ σκίλλα ὀρίγανον γλήχων ὕσσωπον ἀβρότονον βρυωνίας ῥίζα ἀμύγδαλα πικρὰ ἰσχάδες σταφίδες στροβίλια καὶ μάλιστα τὰ χλωρὰ μέλι ἕψημα γλυκὺς οἶνος καστόριον ὀρόβιον ἄλευρον πιτυίδες ἀμμωνιακὸν βδέλλιον λίβανος σίλφιον καὶ ὁ ὀπὸς αὐτοῦ, ἀριστολοχία ἀρκευθίδες στοιχὰς πράσα κεφαλωτὰ ἐσθιόμενα ἑφθὰ σὺν πτισσάνῃ ὠὸν νεαρὸν καταρροφούμενον βούτυρον καθ’ αὑτὸ καὶ μετὰ μέλιτος γλυκυρίζης ὁ χυλὸς καὶ αὐτὴ ἡ ῥίζα· τούτοις χρηστέον ἐπὶ ἀσθματικῶν καὶ ὀρθοπνοικῶν καὶ ἐπὶ βηχικῶν κεχρονισμένων. τὰ δὲ πλεῖστα αὐτῶν καὶ ἐπὶ φθισικῶν καὶ ἐμπυικῶν ἥρμοσται χάριν ἀναγωγῆς τῶν ἠθροισμένων ἐν τῷ θώρακι καὶ τῆς τῶν ἑλκῶν ἀνακαθάρσεως. Περὶ ὑποκαπνισμοῦ.

144 Ὁ δὲ ὑποκαπνισμὸς οὐ πᾶσι τοῖς περὶ τὸν θώρακα συνισταμένοις πάθεσιν ἐπιτήδειος· οὐδὲ γὰρ ἐπὶ τῶν αἷμα πτυσάντων κατάλληλος, τῇ τοῦ ἀναθυμιωμένου δριμύτητι ἀναστομουμένων πάλιν τῶν ἀγγείων, οὔτε τοῖς ξηρὸν ἔχουσι νόσημα περὶ τὸν θώρακα, μόνοις δὲ τοῖς ἀσθματικοῖς καὶ ὀρθοπνοικοῖς καὶ ὅσοις διὰ πλῆθος ψυχρῶν χυμῶν ἐνοχλεῖται ὁ θώραξ· χρηστέον δὲ τοῖς ὑποκαπνισμοῖς τοῦ σώματος ὅλου κεκενωμένου. καθίσαντας δὲ τὸν ἄνθρωπον καὶ ἱματίοις περισκεπάσαντας ὅλον, κελεύσομεν διαστῆσαι τὰ σκέλη, καὶ κάτω νεύειν, ὡς τὸ πρόσωπον ἐγγυτάτω τῶν γονάτων γενέσθαι, τῷ δὲ στόματι κεχηνέναι, ἔπειτα μεταξὺ τῶν σκελῶν θεῖναι τὸ ὑποθυμιώμενον καὶ κελεύειν δέχεσθαι τὸν καπνόν· κρεῖττον δὲ εἰ διὰ χώνης δέχοιτο τὸν καπνόν. ἐστὶ δὲ τὰ θυμιώμενα ταῦτα· καστόριον θυμιώμενον τὴν κατὰ τὸν πνεύμονα καὶ ἐγκέφαλον ὑγρὰν καὶ ψυχρὰν διάθεσιν ἰᾶται, ἀριστολοχία ὁμοίως ἄσφαλτος σανδαράκη λάδανον αἶραι ἄχυρα παλαιὰ σχοινίον παλαιὸν θαλασσοβραχὲς τερεβινθίνη χαμαιλεύκη καλαμίνθη στύραξ μαστίχη λίβανος ἐρύσιμον λαγωοῦ κόπρος καὶ τρίχες δορκάδος κόπρος σικύου ἀγρίου ῥίζα κενταύριον μαράθρου σπέρμα. ἐστὶ δὲ ὑποκάπνισμα διὰ πείρας ἡμῖν ἐξευρεθὲν ἑτεροῖον τοῦτο· στύρακος τερεβινθίνης σανδαράκης μαστίχης ἴσα· πεπίστευται τὰς ἀσθματικὰς καὶ ἐμπυικὰς καὶ βηχώδεις καὶ πλευριτικὰς διαθέσεις ἰᾶσθαι, ὥσπερ καὶ τὰ προειρημένα. Κενωτικὰ λεπτῶν ἐντέρων.

145 Καθαίρει δὲ τὰ λεπτὰ ἔντερα καρπὸς τιθυμαλίθος καὶ ὁ ὀπὸς αὐτῆς, ὅσον σταγόνες ε μετὰ ἰσχάδων ἢ φοινίκων, ἀτραφάξυος σπέρμα κράμβης χυλὸς ἐρεβίνθων ἀφέψημα καὶ θύμβρας πολυποδίου ἀφέψημα γλήχωνος ἀφέψημα ἄγνου φύλλα θύμου ἀφέψημα χαμαίπιτυς βούτυρον νεαρὸν ἐκλειχόμενον συνεχῶς χῆμαι ἑψηθεῖσαι πάνυ καὶ ἐσθιόμεναι ἐπιρροφουμένου τοῦ ζωμοῦ ἔλαιον ὀμφάκινον πινόμενον ῥόδινον κίκινον ἀγαρικὸν μεθ’ ὑδρομέλιτος καθαίρει μετὰ περισκελίας. ἐστὶ γὰρ κακοστόμαχον διὰ τὸ κοῦφον εἶναι καὶ ἐπιπολάζειν περὶ τὸν στόμαχον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλόη μεθ’ ὕδατος ψυχροῦ ἢ γαλακτώδους πινομένη καὶ ἀναπλασθεῖσα μετὰ ἑφθοῦ μέλιτος καὶ καταπινομένη ἀλύπως καθαίρει. στύραξ μετὰ τερεβινθίνης ἀναπλασθεὶς καὶ καταπινόμενος ἀψίνθιον ἀβρότονον ὁμοίως. ἡ δὲ τῶν λεπτῶν ἐντέρων κάθαρσις τὰς προσφάτους ἐμφράξεις καὶ τὰς γενέσεις τῶν ὠμῶν χυμῶν καὶ τὰς στρογγύλας ἕλμινθας ἐξιᾶται· τούτων δὲ καθαρθέντων καὶ ὁ τῆς χοληδόχου κύστεως πόρος ὁ εἰς τὴν νῆστιν ἐμφυόμενος τὴν οἰκείαν ἐνέργειαν ἐπιτελεῖ μηδενὸς ἐμποδίζοντος ἀλλὰ καὶ τὰς ἐμπνευματώσεις καὶ τοὺς ἰλίγγους καὶ τοὺς εἰλεοὺς ἡ τούτων κάθαρσις ἐξιᾶται. Κενωτικὰ τῶν σιμῶν τοῦ ἥπατος.

146 Πολυπόδιον λινόζωστις ἐσθιομένη ἑφθὴ λαθυρίδες μετ’ ὀξυμέλιτος χαμελαία μετ’ ἀψινθίου καὶ ὑδρομέλιτος πινομένη κράμβης χυλὸς κυκλαμίνου ῥίζα γάλακτος ὀρρὸς ἡλιοτροπίου τοῦ σκορπιούρου χυλὸς ζωμὸς ἀλεκτρυόνος παλαιοῦ ἐρεβίνθων λευκῶν ὁ ζωμός. βοηθεῖ δὲ ταῦτα ταῖς ἐπὶ πολὺ χρονιζούσαις φλεγμοναῖς περὶ τὰ σιμὰ τοῦ ἥπατος· τὰς γὰρ ἀρχομένας τὰ πραότερα ὠφελεῖ. Κενωτικὰ τῶν κυρτῶν τοῦ ἥπατος.

147 Ἀμώμου ἀφέψημα σχοίνου ἄνθος ἀκόρου ῥίζα γεντιανὴ μεθ’ ὕδατος ἀγαρικὸν μετ’ οἰνομέλιτος· ἐστὶ δὲ κακοστόμαχον. δάφνης ὁ τῆς ῥίζης φλοιὸς σὺν οἴνῳ· ῥέον ποντικὸν γλυκυρίζης χυλὸς ἀμύγδαλα τὰ πικρὰ μάλιστα πιστάκια ἀψινθίου κόμη ἄνισον μαράθρου σπέρμα ναρδοστάχυος πενταφύλλου ῥίζης χυλὸς ἄγνου σπέρμα δαύκου σπέρμα πετροσελίνου κενταυρίου ἀφέψημα παιωνίας ὁ καρπὸς σήσαμον πεφωγμένον δάφνης φύλλα φοινίκων ὀστᾶ κεκαυμένα σύμφυτον πολύγονον ἠριγέρων σμύρνιον ἱπποσέλινον ἀναγαλλὶς ἡ τὸ κυανοῦν ἄνθος ἔχουσα καπνὸς ἤτοι χελιδόνιον τὸ ἐν τοῖς φραγμοῖς φυόμενον πελεκίνου σπέρμα κέρας ἐλάφειον κεκαυμένον ἡδυόσμου χυλὸς καὶ τὸ ἀφέψημα καλαμίνθη κόστος τῆλις πεφρυγμένη ἐπ’ ὀλίγον βάκανον ὀποβάλσαμον μυρσίνης ἀγρίας ὁ φλοιὸς τῆς ῥίζης, κριθῶν ἀπόβρεγμα θέρμων φοῦ ἄσαρον μῆον πίσσα· ταῦτα ἰᾶται τὰς χρονιζούσας περὶ τὰ κυρτὰ τοῦ ἥπατος νόσους, εἴτε σὺν ὄγκῳ τινὶ γένοιντο εἴτε δυσκρασία μόνη ἐγκαταμείνῃ μετ’ ὀδύνης εἴτε ἔμφραξις. Σπληνὸς κενωτικά.

148 Ἐλλέβορος μέλας ἐπίθυμον πολυπόδιον σκολοπένδριον παιωνίας ῥίζα χαμαίδρυος ἀφέψημα χαμαιπίτυος κενταυρίου μάλιστα τοῦ λεπτοῦ γλήχωνος ἀφέψημα καππάρεως φλοιὸς κολοκυνθίδος ἀπόβρεγμα πινόμενον λινόζωστις ἐσθιομένη καὶ τὸ ἀφέψημα πινόμενον λαθυρίδες μετ’ ὀξυμέλιτος πινόμεναι χαμελαία θάλασσα θερμὴ πινομένη ἐρείκης καρπὸς μετὰ πετροσελίνου ἄγνου σπέρμα. ταῦτα τὰ καθαίροντα τὸν σπλῆνα καὶ τὸ ἧπαρ ἐκφράττοντα κωλύει τὰς καχεξίας καὶ τὰς ἡπατικὰς καὶ σπληνικὰς καὶ ἰκτερικὰς καὶ ὑδερικὰς διαθέσεις συνίστασθαι. Νεφρῶν κενωτικὰ τὰ τμητικὰ πάντα.

149 Ἀρνογλώσσου ἡ ῥίζα καὶ τὰ φύλλα καὶ ὁ καρπὸς ξηρὰ λεῖα πινόμενα ἀσπάραγος μυακάνθινος παιωνίας ἡ ῥίζα ἐρεβίνθων μελανῶν ἀφέψημα ἀμύγδαλα μάλιστα πικρὰ ἠρυγγίου ῥίζης ἀφέψημα δαμασώνιον ἀδίαντον σελίνου σπέρμα μαράθρου δαύκου πετροσελίνου ἄμεως ἀνίσου λιβυστικοῦ ἀσάρου ἀφέψημα μήου φοῦ σχοίνου ἄνθος σεσέλεως ἀκόρου ῥίζα ἀγρώστεως ἀμπέλου δάκρυον καὶ ὁ φλοιὸς αἷμα τράγου ξηρόν. βοηθεῖ δὲ ταῦτα πινόμενα μετὰ τὸ παρακμᾶσαι τὰς φλεγμονάς· κωλύει γὰρ τοὺς μελετωμένους γενέσθαι σκίρρους καὶ τὴν τῶν λίθων γένεσιν. Κύστεως κενωτικά.

150 Οὖρα δὲ ἄγει ἀπὸ κύστεως ἀκόρου ἀφέψημα πινόμενον ἀσάρου ἀμαράκινον ἔλαιον ἀμύγδαλα πικρὰ μετὰ γλυκέος πινόμενα ἀλθαίας ῥίζης ἀφέψημα ἀδιάντου ἀφέψημα αἱματίτης λίθος λεῖος σὺν οἴνῳ πινόμενος ἀλεκτορίδων κόπρος ξηρὰ ἀγχούσης ἀφέψημα αἷμα τράγου ξηρὸν ἀτραφάξυος σπέρμα ἀρτεμισίας ἀφέψημα ἀβροτόνου ἀνίσου σπέρμα ἀριστολοχίας ἀφέψημα βράθυος λειοτάτου ‹ α μεθ’ ὑδρομέλιτος· ἐπὶ δὲ τῶν ἀπυρέτων μετ’ οἴνου βαλσάμου καρπὸς βαλάνων ἀφέψημα βδέλλιον βάτου σπέρμα βαλαύστιον βρυωνίας ῥίζα γλυκυρίζης χυλὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γλήχων γλυκυσίδης ὁ καρπὸς δίκταμνον δρακόντιον ἐλάτης ἀφέψημα ἐρυθροδάνου ἀφέψημα ἕρπυλλος ἠρυγγίου ῥίζα ἡλιοτρόπιον ἠριγέρων ἡδύοσμον· ταῦτα οὐκ ἐᾷ λίθων γένεσιν ἐν κύστει γενέσθαι καὶ τὰς παχύτητας καὶ τὰς τρυγώδεις ὑποστάσεις, ἔτι γε μὴν καὶ τὰς ψωρώδεις καὶ τὰς ἑλκώδεις διαθέσεις ἐξιᾶσθαι πέφυκεν. Ὅσα ἐντίθεται τῇ βαλάνῳ πρὸς ἐρεθισμὸν τῶν οὔρων.

151 Ἐπειδὰν δὲ πλησθεῖσα κύστις οὔρου μὴ δύνηται συστέλλεσθαι καὶ ἐκθλίβειν τὸ οὖρον, ἐντίθεμεν εἰς τὴν βάλανον ταῦτα· νίτρον ὕδατι διειμένον ἅλμην χολὴν κυκλάμινον. Λίθων κενωτικὰ τῶν τε ἐν νεφροῖς καὶ κύστει.

152 Τὰ αὐτὰ καὶ θραυστικὰ τυγχάνει τῶν λίθων· καρδάμωμον μετὰ δάφνης φλοιοῦ πινόμενον κύπερον ἀμυγδάλινον ἔλαιον παλιούρου σπέρμα βδέλλιον μαράθρου ῥίζα λιβανωτὸς ὀξυμυρσίνης φύλλα καὶ ὁ καρπὸς κερασίων ὀπὸς κοκκυμήλων ὀπὸς ἀμύγδαλα πικρὰ λαπάθου ῥίζης ἀφέψημα ἀρτεμισίας ἀφέψημα ἀλθαίας ῥίζης ἀφέψημα ἀλθαίας σπέρμα τριβόλου χλωροῦ ἀφέψημα ἀδιάντου ἀφέψημα ἀμπέλου δάκρυον συάγρου κύστις ξηρὰ λιθόσπερμον τηκόλιθον βετονίκη σαρξίφαγος λίθοι οἱ ἐν τοῖς σπόγγοις ἤλεκτρον. Ὑστέρας κενωτικά.

153 Αἷμα ἀπὸ ὑστέρας ἄγει ἐγκολπιζόμενα καὶ προστιθέμενα ταῦτα· κασσία μετὰ σμύρνης καλάμου ἀρωματικοῦ ἀφέψημα ἀμαράκινον ἔλαιον λευκόιον θύμου θύμβρας ἀφέψημα κενταυρίου ῥίζα καὶ αὐτὸ τὸ κενταύριον ὀποπάναξ ἄγνου καρπὸς ἀμύγδαλα πικρὰ καρύων τὸ ἐντὸς κεκαυμένον μετ’ οἴνου προστιθέμενον ἀψινθίου ἀφέψημα καὶ ὁ χυλὸς σάμψυχον σέσελι χαλβάνη κρίνου ῥίζα ἀρτεμισίας ἀφέψημα δικτάμνου κονύζης θηλείας ἐρυθροδάνου ῥίζα χαμαίπιτυς κνίδης καρπὸς μετὰ σμύρνης ἐλατήριον ἐλλέβορος μέλας θέρμων ἀφέψημα ῥαφάνου φλοιὸς στρούθιον στέαρ ἐλάφου πρόσφατον στέαρ χηνὸς ῥητίνη τερεβινθίνη χολὴ ταυρεία μετὰ μαστίχης βρύον τὸ σπλάγχνον καὶ ὕπνον λεγόμενον κύπερον μύρον ἴρινον χυλὸς κυκλαμίνου ἄγχουσα πεντάφυλλον κύμινον σισύμβριον ἑλένιον ἐλελίσφακον ἡλιοτρόπιον λινόζωστις κόκκος κνίδιος σταφὶς ἐκγιγαρτισμένη τῆλις σήσαμον δαφνίδων τὸ ἐντὸς ἀμυγδάλης πικρᾶς ῥίζα κοχλίαι λεπτοὶ ἔρια ὑσσωπηρὰ θρίδακος ἀγρίας ὀπὸς πράσα κρομμύου χυλὸς καλαμίνθης φύλλα· τοσαῦτα μὲν τὰ ἐν πεσσοῖς καὶ ἐγκολπισμοῖς καὶ προσθέτοις παραλαμβανόμενα, παραφυλάττεσθαι μέντοι χρὴ τὴν συνεχῆ χρῆσιν τῶν ἐν αὐτοῖς δριμυτέρων. εἴωθε γὰρ ἑλκώσεις ἐπιφέρειν. Ὅσα πινόμενα ἄγει καταμήνια.

154 Πινόμενα δὲ ἄγει ἀπὸ ὑστέρας αἷμα καὶ τῶν εἰρημένων μὲν τὰ πλεῖστα καὶ πάντα δὲ τὰ διουρητικὰ καὶ ἐρύσιμον δὲ καὶ ἄσαρον μετὰ μελικράτου κάλαμος ἀρωματικὸς στυπτηρία καστόριον ἐρεβίνθων ἀφέψημα μετὰ πεπέρεως καὶ πηγάνου ἀσφοδέλου ῥίζης ἐν οἴνῳ ἑψηθείσης γλήχων ἐν οἴνῳ ἑψηθεῖσα ἠρυγγίου ῥίζης ἀφέψημα ἀβροτόνου καρπὸς ὀριγάνου θύμου θύμβρας πηγάνου ἀφέψημα μαράθρου σπέρμα κρῆθμον κύμινον σίνηπι πράσου σπέρμα καὶ ὁ χυλὸς καὶ τὸ ἀφέψημα σμύρνιον σίον ὀρεοσέλινον δαύκου σπέρμα θλάσπεως 〈σπέρμα〉 μελάνθιον λευκοίου σπέρμα ἰτέα ἄγνου σπέρμα βαλσάμου καρπὸς γλυκυσίδης καρπὸς δαφνίδες σμύρνα καρδάμωμον κυκλάμινον σαγαπηνὸν χαλβάνη [μαράθρου σπέρμα] ναρδόσταχυς λινόζωστις κόστος κάλαμος ἀρωματικὸς στύραξ κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα βράθυ ἶρις ἀριστολοχία κυδωνίων τὸ ἄνθος καὶ ὁ χνοῦς λαπάθου ῥίζης ἀφέψημα ἀρτεμισία δίκταμνος· τούτων ἕκαστον ἢ ἑψόμενον σὺν οἴνῳ ἢ λειούμενον καὶ πινόμενον αἷμα ἄγειν πεπίστευται. ἁρμόζει δὲ ταῦτα ἐφ’ ὧν αἱ καθάρσεις ἐμποδίζονται ἢ στραγγῶς καθαίρονται ἢ μύσις ὑστέρας πάρεστι· βοηθεῖ δὲ καὶ ταῖς παρεγκλίσεσι καὶ ταῖς ἀναδρομαῖς τῆς ὑστέρας καὶ πνίξεσι. Σκυβάλων κενωτικά.

155 Σκύβαλα δὲ κενοῖ πινόμενα στύραξ καταπινόμενος μαστίχη μεθ’ ὕδατος ψυχροῦ λεῖα πινομένη ὅσον Γ ρʹ ιβ ἀλόης < α τερεβινθίνης κοχλιάριον σίνηπι σκόρδον ἀπεζεσμένον μετ’ ἐλαίου καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γάρου σῦκον μετὰ νίτρου καὶ κνήκου σπέρματος τοῦ ἐντός. καὶ πάντα δὲ τὰ προειρημένα ἐπὶ τῶν λεπτῶν ἐντέρων ἁρμόδια ἐκκαθαίρειν καὶ τὰ μεγάλα τῶν ἐντέρων. Ἑλμίνθων κενωτικά.

156 Καὶ τὰς ἕλμινθας δὲ τάς τε στρογγύλας καὶ τὰς πλατείας καὶ ἀσκαρίδας ἐκκαθαίρει τὰ ἐπὶ τῶν λεπτῶν ἐντέρων εἰρημένα πινόμενα· ἰδίως δὲ κενοῖ ταύτας μυώτιδος ὁ χυλὸς μετὰ ζύθου πινόμενος ἢ μίλτων ὅσον κύαθον ἑκάστου ἠριγέρων ἐσθιόμενος σαρδόνικον μετὰ σύκου ἐσθιόμενον ἀβροτόνου ἀφέψημα γῆς ἔντερα λεῖα ἑφθὰ μετὰ γλυκέος πινόμενα. Ἱδρώτων κενωτικά.

157 Πινόμενα κινεῖ τοὺς ἱδρῶτας· κύμινον δαφνίδες ἄνισον ἄγνος ἕρπυλλον καλαμίνθη πόλιον ῥαφάνου φλοιὸς ἐσθιόμενος κόστος σισύμβριον δίκταμνον ἀρτεμισία καρδάμωμον λιβανωτὸς μέλι γάλα βοὸς κασσία σχοίνου ἀφέψημα ὀπὸς κυρηναικὸς ὅσον ἐρεβίνθου μέγεθος καταπινόμενος ἐπὶ τῶν ψυχροτέρων νοσημάτων, χαμαίδρυς καστόριον μετὰ μελικράτου κενταυρίου μεγάλου ῥίζα καππάρεως ῥίζης φλοιὸς λιβυστικὸν πετροσέλινον μελάνθιον· ταῦτά ποτε μὲν δι’ οἴνου ποτὲ δὲ δι’ οἰνομέλιτος πίνεται καὶ πεπίστευται ἱδρῶτας κινεῖν καὶ πιστακίου δὲ καρπὸς ἐσθιόμενος κινεῖ ἱδρῶτας ἀλύπως· ἀλειφόμενα δὲ ἔξωθεν κινεῖ ἱδρῶτας νίτρον μετ’ ἐλαίου ἴρινον μύρον ἀνήθινον χαμαιμήλινον δάφνινον ῥαφάνινον σικυώνιον μυροβαλάνινον ἀλθαία κόστος βάλσαμον ἀριστολοχία κασσία κάλαμος ἀρωματικὸς λιβανωτὸς ἕκαστον σὺν ἐλαίῳ ἑψόμενον· θυμιώμενα δὲ κινεῖ ἱδρῶτας καστόριον μετὰ γλήχωνος βαλσάμου καρπὸς βδέλλιον ἄγνου καρπός· χρηστέον δὲ ἐπὶ τῶν ἰκτερικῶν τούτοις καὶ ἐπὶ τῶν διὰ ψῦξιν ἢ στύψιν τοῦ δέρματος μὴ ἱδρούντων. Κενωτικὰ καὶ φθαρτικὰ τῶν περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος φθειρῶν παντοίων· Σανδαράκη ἀριστολοχία σταφὶς ἀγρία θεῖον ἄπυρον κιννάμωμον κάλαμος ἀρωματικὸς κασσία πύρεθρον τέφρα δρυίνη σικύου ἀγρίου ῥίζα.

159 Περὶ κλυσμῶν. Πλείστων τῶν ἐπὶ λύμῃ συμβαινόντων τῷ ζῴῳ κακῶν πρόξενος γίγνεται ἡ τῆς γαστρὸς ἐπίσχεσις· βάρος γὰρ κεφαλῆς παρέπεται καὶ σκοτόδινοι ἀνατροπαί τε στομάχου σπαραγμοὶ ἐμετώδεις ναυτίαι τε καὶ ἀνορεξίαι στόματος ξηρότης καὶ πικρότης ἐρυγαὶ ἀηδεῖς καὶ βρομώδεις καὶ πνεύματος δυσωδία ὕπνοι μετέωροι καὶ ἀηδεῖς ἐμπνευματώσεις στρόφοι εἰλεοί· πληθωρικάς τε καὶ ἀρθριτικὰς καὶ ποδαγρικὰς καὶ ἰσχιαδικὰς νόσους γεννᾷ παραύξουσά τε ἅπαντα καὶ κακοηθέστερα καὶ χρονιώτερα ἀποτελοῦσα, ἔσθ’ ὅτε δὲ καὶ ὀλέθρια· χρεῖα δὲ γίγνεται κλυσμῶν καὶ ἐπὶ ἑτέρων πλείστων διαθέσεων, ὧν ἐκ μέρους ἐφεξῆς μνήμην ποιησόμεθα. τῶν μὲν οὖν ἐνιεμένων κλυσμῶν οἱ μέν εἰσιν ἁπλοῖ καὶ ἁπαλοί, οἱ δὲ δριμεῖς, οἱ δὲ ἄλλην χρείαν καὶ δύναμιν ἔχουσι. τῶν μὲν οὖν ἁπαλῶν ὕδωρ θερμὸν αὐτὸ καθ’ αὑτὸ ποιεῖ κομιδῆς ἕνεκα κοπρίων ἐν συνεχέσι πυρετοῖς καὶ κακοήθεσι καὶ καυσώδεσι καὶ ἐπὶ τῶν ἐκ μακρᾶς ἀσθενείας ἀναλαμβανόντων, ἐφ’ ὧν δυσχερεῖς αἱ ἄφοδοι γίγνονται· θερμότερον δὲ ἐνήσομεν ὡς ἐμπνευματοῦντος τοῦ χλιαροῦ· ὑδρελαίῳ δὲ χρησόμεθα ἐπὶ κατοχῇ σκληρῶν κοπρίων, κἀπὶ τῶν ἑλκώδη καὶ δακνώδη συναίσθησιν περὶ τὰ ἔντερα ἐχόντων· παραιτεῖσθαι μέντοι τὸ ὑδρέλαιον, ἐπειδὰν κεφαλῆς βάρος ᾖ, ἢ ὁ στόμαχος ἀνατρέποιτο, ἢ ἀνορεξία κρατῇ· ῥόδινον δὲ ἀντὶ τοῦ ἐλαίου σὺν τῷ ὕδατι ἐνιέμενον ἐπιτήδειον ἔν τε καυσώδεσι πυρετοῖς καὶ πυρώσεσιν ὑπερβαλλούσαις περὶ τὰ μέσα καὶ μάλιστα περὶ τὸ κῶλον· κεφαλὴν δὲ συμπληροῖ καὶ ἧττόν ἐστιν ὀλισθηρὸν τοῦ ὑδρελαίου. ἐμβλητέον δὲ ῥόδινον τέταρτον μέρος τοῦ ὕδατος· σὺν ᾠῷ δὲ καὶ πτισσάνης χυλῷ ἐνίεμεν τὸ ῥόδινον ἐπὶ τῶν καυσωδεστάτων πυρετῶν ἢ δήξεως περὶ τὰ ἔντερα συνεδρευούσης. χαμαιμήλινον δὲ ἔλαιον καὶ ᾠοῦ τό τε πυρρὸν καὶ τὸ λευκὸν σὺν χυλῷ πτισσάνης ἐνίεμεν εἰς νύκτα ἐπὶ τῶν διακαῶν πυρετῶν κελεύοντες αὐτὸ κρατεῖν πᾶσαν τὴν νύκτα. καὶ γὰρ ὕπνον ἐπάγει ἡδὺν καὶ τὰ αἴτια τοῦ πυρετοῦ τῇ ἑξῆς σὺν ἑαυτῷ ἐξάγει. βούτυρον δὲ μεθ’ ὕδατος μὲν ἐνιέμενον δήξεις καὶ στρόφους παρηγορεῖ· ὀλίγον δὲ εἶναι χρὴ τὸ βούτυρον ἐπὶ τούτων· ποιεῖ δὲ καὶ ἐφ’ ὧν διὰ φλεγμονὴν τοῦ ἀπευθυσμένου κατέχεται

τὰ σκύβαλα καὶ ἐπὶ ῥυπαρῶν ἑλκώσεων περὶ τὸ ἔντερον. καὶ ἀφέψημα δὲ τήλεως ἐν ὕδατι ἑφθῆς χωρὶς λέπους ἐνιέσθω ἐπὶ τῶν ἐκ φλέγματος ἀναπτομένων πυρετῶν καὶ ἐπὶ τῶν μαλακῶν καὶ γυναικωδῶν σωμάτων καὶ ἐπὶ τῶν δακνομένων τὸ ἔντερον. κεφαλὴν δὲ συμπληροῖ ἱκανῶς, διὸ ἐν πυρετοῖς, εἰ μὴ ἀπαθὴς εἴη ἡ κεφαλή, οὐ χρηστέον αὐτῷ. μαλάχης δὲ ἀφέψημα ἁρμόζει ἐπὶ στρόφων καὶ δηγμῶν καὶ μάλιστα εἰ ξηρὸν ὑπόκειται σκύβαλον. λινοσπέρμου δὲ ἀφέψημα ἐπὶ σωμάτων καὶ νοσημάτων καταξήρων ἁρμόδιον, χρήσιμον δὲ καὶ δήξεσι καὶ ἄσαις καὶ ἐπὶ τῶν σφόδρα διψώντων. κεφαλὴν δὲ πληροῖ μέν, οὐχ ὁμοίως δὲ τῇ τήλει. πτισσάνης δὲ χυλὸς δύναται σκύβαλα διαλῦσαι σκληρὰ καὶ τμῆξαι τὰ ἔντερα καὶ δηγμοὺς παρηγορῆσαι. ἄλικος δὲ χυλὸς καὶ δήξεως μέν ἐστι παρηγορητικός, μάλιστα δὲ ἁρμόζει καρδιακοῖς καὶ διαφορουμένοις συγκοπτικῶς. πρὸς γὰρ τῷ τρέφειν καὶ τὴν δύναμιν ἀνακτᾶσθαι τὸ ἐνιέμενον ἔτι καὶ ὄλισθον τοῖς ὑποκειμένοις σκυβάλοις παρέχεται. πιτύρων δὲ χυλὸς πυρετοῖς καταξήροις καὶ κωλικαῖς ὀδύναις καὶ ἑλκώσεσιν ἐντέρων ἁρμόδιος· ῥύπτει γὰρ χωρὶς δήξεως. ἀνδράχνης δὲ χυλὸς χρησιμώτατος ἐπὶ δηγμῶν καὶ πυρώσεων τῶν τε ἄλλως γιγνομένων καὶ ἐφ’ ὧν δι’ ἔκκρισιν σκληρῶν ἢ δριμέων σκυβάλων ὁ δακτύλιος ἢ τὸ ἀπευθυσμένον βλαβὲν ἐρυσιπελατώδη διάθεσιν ἀνεδέξατο. [45]

159 (50) μιγνύναι δὲ ἐπὶ τούτων χρὴ τῷ χυλῷ καὶ ᾠὸν καὶ ῥόδινον καὶ κατ’ ἰδίαν δὲ ὁ χυλὸς τῆς ἀνδράχνης ἐπιτήδειος πυρώσεως ἐρυσιπελατώδους ἐν τῷ βάθει περὶ τὰ ἔντερα συνεδρευούσης. γάλα δὲ ἐνίεται ἑλκώσεως οὔσης καὶ φλεγμονῆς περὶ τὰ ἔντερα καὶ νεφροὺς καὶ κύστιν καὶ ὑστέραν· ὀρρὸς δὲ γάλακτος ἐνιέμενος ἐκκοπροῖ μὲν γενναίως καὶ ἐξάγει τὰ ἐν τοῖς ἐντέροις εὑρισκόμενα περιττώματα πάντα· ῥύπτει δὲ καὶ τὰ ῥυπαρώτερα τῶν ἐν τοῖς ἐντέροις ἑλκῶν. χωρὶς δὲ πυτίας σκευαζέσθω. ἔλαιον δὲ καθ’ αὑτὸ θερμὸν ἐνιέμενον ἁρμόδιον ἐπὶ φλεγμαινόντων ἐντέρων· ἐπιτήδειον δὲ καὶ ἐπὶ τῶν ἐσχατογήρων, ἐφ’ ὧν σκληρύνεται τὸ σκύβαλον. μελίκρατον δὲ ἁρμόζει ἐνιέμενον ἐπὶ τῶν πραοτέρων πυρετῶν καὶ ἐπὶ τῶν γυναικωδῶν σωμάτων καὶ ἐπὶ παρακμαζόντων, οἷς ἀπευθυσμένον ἢ κῶλον κατέψυκται. πηγάνου δὲ καὶ ἀνήθου καὶ κυμίνου ἀφέψημα μετ’ ἐλαίου διαλυτικὸν πνευμάτων ἐστί· διὸ κωλικοῖς ἐνίεται· εἶναι δὲ χρὴ ἐπὶ τούτων δύο μὲν μέρη τοῦ ἀφεψήματος, ἓν δὲ τοῦ ἐλαίου. τήλεως δὲ χυλὸς βουτύρῳ καὶ τερεβινθίνῃ μιγνύμενος, ὡς εἶναι τὸ τέταρτον τοῦ χυλοῦ ἑκατέρων, χρήσιμός ἐστι 〈ν ἐπὶ〉 τῶν περὶ τὸ ἔντερον στρόφων ἢ παλμῶν· καὶ γὰρ ἐπὶ πολὺ ἐμμένει ἀδήκτως καὶ ἐξάγει τὰ περιττώματα ἀταράχως· χρησιμώτατος δέ ἐστι καὶ ἐπὶ τῶν περὶ τὴν ὑστέραν δήξεων. πτισσάνης δὲ χυλῷ μίγνυται βούτυρον καὶ μέλι πάνυ ἐλάχιστον καὶ γίγνεται χρήσιμον ἐπὶ τῶν διὰ ἕλκωσιν ἐντέρων κατεχομένων σκυβάλων καὶ ἐπὶ τῶν ῥυπαρῶν ἑλκῶν ἐν τοῖς ἐντέροις. πηγάνινον δὲ ἔλαιον μετὰ τοῦ βουτύρου καὶ τερεβινθίνης χρησίμως ἐνίεται ἐπὶ τῶν κωλικῶν ἀλγημάτων. ἐνίοτε δὲ πίσσης ὑγρᾶς < γ ἢ ἀσφάλτου < δ λεαίνοντες σὺν τῷ πηγανίνῳ ἐλαίῳ ἐνίεμεν καὶ παύει τὰς ὀδύνας καὶ φλέγμα κενοῖ ἀλύπως. ἐνίοτε δὲ οἴνῳ γλυκεῖ ἔρια ῥυπαρὰ ἑψήσαντες καὶ διηθήσαντες, συμπλέκομεν τῷ πηγανίνῳ ἐλαίῳ, ὡς εἶναι τοῦ μὲν οἴνου μέρη γ , τοῦ δὲ ἐλαίου μέρη β . τοῦτο γὰρ ἐνιέμενον σφόδρα παρηγορεῖ τὰς τοῦ κώλου ὀδύνας. εἰ δὲ κρεμαστήρων ἢ κύστεως ὀδύνη ἢ δυσουρία παρείη καὶ πετροσέλινον λειότατον ἐμπασσέσθω τῷ πηγανίνῳ. ἐπὶ δὲ ἀλγημάτων ἀποστηματικῶν ἢ ἑλκωδῶν ἐν τοῖς ἐντέροις βούτυρον μετὰ μάννης ἐνίεμεν ἢ μυελὸν ἐλάφειον ἢ μόσχειον μετ’ ἐλαίου. καταψύχρων δὲ ὄντων τῶν νοσημάτων καὶ νωθρῶν ἀλγημάτων χαλβάνην μετὰ τοῦ βουτύρου ἐνίεμεν, ὡς εἶναι τῆς μὲν χαλβάνης < α τοῦ δὲ βουτύρου ₣ ς ἢ στύρακος ὀβολοὺς Γ μετὰ τοῦ βουτύρου. τοῖς δὲ δριμέσι κλύσμασι χρώμεθα ἐπί τε ἰσχιαδικῶν ληθαργικῶν ὀρθοπνοικῶν καὶ τῶν καταψύχρων νοσημάτων ἐπί τε τῶν θανάσιμον φάρμακον εἰληφότων καὶ διὰ ψῦξιν ἢ θρόμβωσιν ἀναιρούντων. ἐπὶ μὲν οὖν τῶν κατεψυγμένων ὅλον τὸ σῶμα ἀποπλήκτων ἰσχιαδικῶν τε καὶ νεφριτικῶν καστορίου ὀβολοὺς δ λείους μετ’ ἐλαίου ἕνιε. νίτρον δὲ ἀντὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁλῶν προσβάλλομεν, ὅταν βουλώμεθα δὶς ἢ τρὶς προθυμίαν ἐμποιεῖν πρὸς τὴν ἀπόκρισιν· οἱ γὰρ ἅλες ἀθρόως μὲν δάκνουσιν, οὐ παραμένει δὲ αὐτῶν ἡ δῆξις ἐπὶ πολύ. κακωτικὸν δὲ κεφαλῆς καὶ συμπληρωτικὸν τὸ νίτρον καὶ ἀνατρεπτικὸν στομάχου· τοῖς δὲ ἁλσὶν οὐδὲν τοιοῦτον πρόσεστι. δραστικὰ δέ ἐστιν ἐπὶ τῶν πρὸ βραχέος ῥηθέντων παθῶν γάρος τὸ ἀπὸ σιλούρων θάλασσα ἅλμη ἀφέψημα κενταυρίου κολοκυνθίδος ἀριστολοχίας σικύου ἀγρίου ῥίζης ἀγαρικοῦ θύμου χαμαιπίτυος κάχρυος· οὗτοι γὰρ καὶ αἷμα ἄγουσι καὶ αὐτῷ γε τούτῳ κουφίζουσι τὰς διαθέσεις. Περὶ βαλάνων. [95]

160 Βαλάνοις χρώμεθα ποτὲ δι’ ἀσθένειαν τῶν καμνόντων οὐ δυναμένων χρῆσθαι κλύσμασι, ποτὲ δὲ διὰ τὸ πρὸς τῷ ἀπευθυσμένῳ τὰ σκύβαλα εἶναι καὶ μὴ δεῖσθαι κλύσματος, μάλιστα δ’ ἐπὶ πυρετῶν σφοδρῶν καὶ διακαῶν καὶ ἀνώφορον ἐχόντων τὴν ὕλην, ἐφ’ ὧν ἐπιβλαβής ἐστιν ἡ τῶν κλυσμῶν χρῆσις. ἀλυπότατα γὰρ ἐπὶ τούτων ἐξάγεται τὰ ἐγκείμενα περιττώματα διὰ τῶν βαλάνων· χρήσιμα δὲ καὶ τοῖς περὶ τὴν κεφαλὴν ψυχροῖς πᾶσι πάθεσι καταφορικοῖς καὶ παράφροσι. γίγνεται δὲ αὐτῶν χρεία πολλάκις καὶ ἐφ’ ὧν τὸ ἐνεθὲν διὰ κλυστῆρος οὐκ ἐκκρίνεται. σκευάζεται δὲ τὰ βαλάνια διαφόρως· καὶ γὰρ διὰ μέλιτος ἑφθοῦ καὶ ἁλὸς ὀπτοῦ καὶ νίτρου συντίθεται καὶ διὰ κυμίνου καὶ πηγάνου καὶ νίτρου καὶ μέλιτος ἑφθοῦ, ἐφ’ ὧν μᾶλλον πνευμάτωσις ἐνοχλεῖ. καὶ θύμος δὲ λεῖος σὺν ἑφθῷ μέλιτι ἀναλαμβάνεται καὶ κυκλάμινος λεῖα σὺν τῷ μέλιτι καὶ ἀψίνθιον ἢ ἀβρότονον ἢ θέρμων ἄλευρον μετὰ μέλιτος· τοῦτο δὲ ἐπὶ ἑλμίνθων ἐπιτήδειον ἢ ὕσσωπον καὶ τραγορίγανον καὶ ἐπίθυμον σὺν τῷ μέλιτι· τοῦτο ἐπὶ στομάχου ἀνατροπῇ χρήσιμον· ἢ κόκκος κνίδιος μετὰ ῥητίνης ξηρᾶς ἢ μέλιτος ἑφθοῦ ἢ πύρεθρον σὺν τῇ ξηρᾷ ῥητίνῃ ἢ νᾶπυ σὺν τῇ ξηρᾷ ῥητίνῃ ἢ κενταύριον σὺν τῇ πίσσῃ καὶ κηρῷ. ταῦτα δὲ χρήσιμα ἐπὶ παρέσεως τῶν μορίων· ἢ ἄσφαλτος πάνακος ῥίζης βραχὺ ὕσσωπον χαλβάνη καὶ ῥητίνη ξηρά· χρήσιμον δὲ καὶ τοῦτο ἐπὶ τῶν παρεθέντων τὸ σῶμα ὅλον καὶ διὰ τοῦτο καὶ τὴν ἀποκριτικὴν δύναμιν τῶν ἐντέρων καταπεσοῦσαν ἐχόντων. ποιεῖ δὲ καὶ ἐπὶ παρέσεως τοῦ ἀπευθυσμένου· ποιεῖ καὶ ἐπὶ ἀσκαρίδων· ἐνδέχεται δὲ ἀντὶ τοῦ μέλιτος τῇ ξηρᾷ ῥητίνῃ χρῆσθαι, ὡς εἴρηται, ἢ πίσσῃ ἢ σύκῳ λιπαρῷ λειοτάτῳ ἢ σταφίδι ἄνευ τῶν γιγάρτων ἢ σάπωνι. καλλίστη δὲ βάλανος γίγνεται ἐκ τῶν φύλλων τῆς λινοζώστεως χλωρῶν λεανθέντων καὶ ἀναπλασθέντων καὶ ξηραινομένων· ἐπὶ δὲ νηπίων καὶ χόνδρος ἁλὸς ἐντίθεται καὶ κρόμυον καὶ πράσον κεφαλωτόν. Περὶ κροκύδων. [25]

161 Γίνεται προσθέτων χρεία πολλάκις ἐπὶ τῶν ῥαγάδας ἐχόντων ἐν δακτυλίῳ ἢ κονδυλώματα· ἀναξηραίνεται δὲ ταῦτα ὑπὸ τῆς τῶν βαλάνων σκληρότητος, ὅθεν ἀναγκαζόμεθα κροκύσιν ἀντὶ τούτων κεχρῆσθαι· ὕλη δὲ καὶ τούτων ἅπασα ἡ προειρημένη. λειωθέντα δὲ σὺν μέλιτι καὶ ἀναληφθέντα κροκύδι ἐντίθεται τῷ δακτυλίῳ. Περὶ ἀέρων Γαληνοῦ. [5]

162 Ἄριστος ἀήρ ἐστιν ἐν παντὶ καιρῷ ὁ καθαρὸς ἀκριβῶς· εἴη δ’ ἂν οὗτος ὁ μὴ ἐκ λιμνῶν ἢ ἑλωδῶν χωρίων ἀναθυμιάσεως ἐπιθολούμενος, μηδὲ ἔκ τινος βαράθρου δηλητηρίαν αὖραν ἀποπνέοντος· οἷον ἐὰν ἔκ τινων ὀχετῶν ἐκκαθαιρόντων μεγάλην πόλιν ἐπιθολοῦται, μοχθηρός ἐστιν· καὶ μὴν καὶ ὅστις ὁμιχλώδης ἐστὶν οὐκ ἀγαθός, ὥσπερ γε καὶ ὅστις ἂν ἐν κοίλῳ χωρίῳ πάντοθεν ὄρεσιν ὑψηλοῖς περιεχομένῳ μοχθηρὸς καὶ πνιγώδης. ὁ δὲ ἐν ὄρεσι καὶ ὑψηλοῖς χωρίοις μὴ δεχόμενος μηδεμίαν αὖραν ὑγιεινότερος, ἐπιτήδειος ὀρθοπνοικοῖς καὶ φθισικοῖς καὶ πᾶσι τοῖς περὶ τὸν θώρακα καὶ κεφαλὴν πάθεσιν. ὁ δὲ ἐν ταπεινοῖς χωρίοις καθαρὸς τοῖς συγκοπτομένοις ἐπιτήδειος καὶ γέρουσιν. ὁ δὲ παραθαλάττιος τοῖς ὑδρωπικοῖς καὶ τοῖς ῥευματικοῖς πάθεσι, ψυχροτέροις μάλιστα, ἐπιτήδειος καὶ νευρικαῖς συμπαθείαις καὶ τοῖς ἀνορέκτοις, ὁ δὲ ἐν πετρώδεσι χωρίοις, χειμῶνος μὲν χαλεπός, ψυχρὸς γάρ, θέρους δὲ πνιγώδης. κακὸς δὲ καὶ ὁ ἐκ μετάλλων ἀναθυμιώμενος, ὁ δὲ ἐκ τῶν ἀργελωδῶν χωρίων ἐκλυτικὸς στομάχου. ὁ δὲ ἐκ τῶν πυρρογείων τόπων ξηραντικώτερος τοῦ προτέρου. ὁ δὲ ἐκ τῶν μελαγγείων ἄριστος. καὶ παρὰ τὰς ὥρας δὲ τοῦ ἔτους ἐναλλαγαὶ περὶ τὸν ἀέρα γίγνονται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐκ τῶν Ἀθηναίου. Ἐν μὲν οὖν τῇ ἐαρινῇ ὥρᾳ ὑγρὸς καὶ θερμὸς ὁ ἀήρ, ἐν δὲ τῇ θερινῇ θερμὸς καὶ ξηρός, ἐν δὲ τῇ φθινοπωρινῇ ψυχρὸς καὶ ξηρός, ἐν δὲ τῇ χειμερινῇ ὑγρὸς καὶ ψυχρός. πάλιν δὲ ἐν ἑκάστῃ τῶν ὡρῶν τρεῖς διαφοραὶ γίγνονται· πρώτη καὶ μέση καὶ ὑστάτη. τὰ μὲν οὖν μέσα τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν· τὰ δὲ πρῶτα καὶ ὕστατα τῇ γειτνιώσῃ ὥρᾳ ἀφομοιοῦνται. καὶ ἡ σελήνη δὲ κατὰ μῆνα ἐργάζεται διαφορὰς δ ἐν τῷ ἀέρι· ἡ μὲν οὖν α ἑβδομὰς ἀπὸ νεομηνίας μέχρι τῆς ζ παρέοικε τῷ ἔαρι ὑγρὰ καὶ θερμή. ἡ δὲ β ἑβδομὰς μέχρι πανσελήνου θερινῇ παραπλήσιος· ἡ δὲ τρίτη ἑβδομὰς φθινούσης σελήνης ψυχρὰ καὶ ξηρά· ἡ δὲ τετάρτη καὶ τελευταῖα ψυχρὰ καὶ ὑγρά. καὶ καθ' ἑκάστην δὲ ἡμέραν διαφοραὶ τοῦ ἀέρος γίγνονται· ὁ μὲν γὰρ ὄρθρος ὑγρὸς καὶ θερμὸς ὡς τὸ ἔαρ· διὰ τοῦτο καὶ τὰ σώματα ἀνίεται καὶ τῶν ὑγιαινόντων καὶ τῶν νοσούντων, ὥστε καὶ τοῖς πυρέσσουσιν ὁ καιρὸς οὗτος εὐφορώτατος· τὰ δὲ μέσα τῆς ἡμέρας θέρει παρείκασται, τὰ δὲ κατὰ τὴν δείλην φθινοπώρῳ, τὰ δὲ περὶ ἑσπέραν χειμῶνι καὶ τῆς νυκτὸς δὲ τὰ πρῶτα τῇ ἑσπέρᾳ παρείκασται· τὰ δὲ μέσα χειμῶνι παρέοικε καὶ τὰ ἄλλα ἀκολούθως. Περὶ ἀνέμων Ἀδαμαντίου σοφιστοῦ. [35]

163 Ἐπεὶ δὲ ἐκ τῶν τῆς γῆς ἀναθυμιάσεων οἱ ἄνεμοι γεννῶνται, διοριστέον διὰ βραχέων καὶ περὶ τούτων. τοὺς μὲν οὖν ἀνέμους ὠδίνει ἡ γῆ, τίκτει δὲ λιγνυώδεις ἀναθυμιάσεις· θερμότης γὰρ μεθ' ὑγρότητος ἐναπειλημμένη ξηροτέρας ἀναθυμιάσεις καὶ οἷον λιγνυώδεις ποιοῦσα, τοὺς ἀνέμους γεννᾷ. ξηρὰν δὲ ἀναθυμίασιν ἄκουε νῦν, πρὸς σύγκρισιν τῶν ἄλλων, ὡς εἰ λέγοιμεν οἶνον ξηρότερον. ιβ δὲ τὸν ἀριθμόν εἰσιν οἱ καθολικοὶ ἄνεμοι· ἀνατολικοὶ μὲν τρεῖς· εὖρος ἀφηλιώτης καικίας· ἄλλοι δὲ τρεῖς δυτικοί· λίβας ζέφυρος θρασκίας· εἷς δὲ ὁ μεσημβρινὸς καλούμενος νότος καὶ εἷς ὁ βορεινὸς καλούμενος ἀπαρκτίας, ὡς εἶναι τοὺς εἰρημένους η . ἄλλοι δὲ δ εἰσὶ μεταξὺ τῶν εἰρημένων ἐκ τῶν δ γωνιῶν τοῦ κόσμου ἐγειρόμενοι· μεταξὺ μὲν ἀνατολῶν καὶ μεσημβρίας ὁ εὐρόνοτος, μεταξὺ δὲ μεσημβρίας καὶ δύσεως ὁ λιβόνοτος καὶ μεταξὺ μὲν ἀνατολῶν καὶ βορρᾶ ὁ βορέας, μεταξὺ δὲ βορρᾶ καὶ δυσμῶν ἀργέστης, ὡς εἶναι τοὺς πάντας καθολικοὺς ιβ . οἱ δὲ ἄλλοι ὅσοι εἰσὶν ἐπιχώριοι, νόθοι καθεστήκασιν· αἱ δὲ ἄλλαι ἀναθυμιάσεις αἱ ἐκ τῆς γῆς γιγνόμεναι ὑγρότεραι τούτων εἰσὶ τῶν τὸν ἄνεμον γεννώντων. εἰ μὲν οὖν εἴη τὸ ἀναθυμιώμενον ὀλίγον τε καὶ λεπτόν, ἀτμὶς νεφελώδης συνίσταται· εἰ δὲ πλέον καὶ παχύτερον ὁμιχλώδης· εἰ δὲ ἔτι παχύτερον ὀρφνώδης· πλείστης δὲ καὶ παχυτάτης ἀναφερομένης ὑγρότητος ἀτμὶς ἀναχεῖται τῷ περιέχοντι δροσώδης. ἐκ τούτων τῶν δ ἀναθυμιάσεων συγκρινομένων δρόσοι καὶ ὄμβροι καταφέρονται· πηγνυμένων δέ, πάχναι καὶ χιόνες καὶ χάλαζαι πρὸς τὴν ποιότητα τοῦ κρύους καὶ τὴν ποσότητα. οὐδεμία δὲ τούτων ἄνεμον γεννᾶν πέφυκεν, ἀργή τε οὖσα καὶ ῥύμην οὐκ ἔχουσα. εἰ δὲ ἡ μὲν ὑγρὰ ἀναθυμίασις, ἥτις ὀνομάζεται ἀτμίς, ποιεῖ δρόσους ἢ ὄμβρους, ἡ δὲ ξηροτέρα ποιεῖ τοὺς ἀνέμους καί ἐστιν ἡ ξηρὰ τῇ ὑγρᾷ ἐναντία, πῶς δὲ κατὰ τὸ αὐτὸ ὄμβρος καὶ ἄνεμος γίγνεται, ἐροῦμεν ὅτι ἐξ ἄλλου καὶ ἄλλου τόπου ἀναφέρονται· ὅταν μὲν γὰρ ἐκ διαφερόντων τῷ πλάτει τόπων αἱ ἐναντίαι ἀναθυμιάσεις γίγνωνται, τότε καὶ ὕει καὶ πνεῖ. διὰ τί δέ ποτε μὲν μετὰ τὸν ὑετὸν ἄνεμοι γίγνονται, ποτὲ δὲ μετὰ τοὺς ἀνέμους ὑετὸς ἐπακολουθεῖ, λέγομεν ὅτι τὸ ἐν τῇ γῇ θερμὸν οὐκ ἔχει ἐν τῷ καιρῷ ἐκείνῳ ὑγρὸν ὃ ἐγκαύσει καὶ διὰ τοῦτο μένει ἀργόν. λαβόμενον δὲ τοῦ ὑετίου ὑγροῦ ἐκθάλλει καὶ τῇ ἐγκαύσει τῆς ὕλης λιγνὺν ἐγεῖρον καὶ τοὺς ἀνέμους ἐργάζεται, οἵ τινες ἤδη δαπανηθέντος τοῦ ὕοντος νέφους μένουσιν ἐν αἰθρίᾳ πνέοντες ἢ ἐλαύνουσι τὸ γεννῆσαν αὐτούς. ὁ μὲν οὖν ὑετὸς οὕτως ἀνέμους γεννᾷ· ἄνεμος δὲ ὑετοὺς κατὰ τόνδε τὸν τρόπον ποιεῖ. ἐδείξαμεν ὡς κοινὴ μὲν ἡ θερμότης ἀμφοτέραις ταῖς ἀναθυμιάσεσι· τῷ δὲ ποσῷ ἡ ὑγρότης διάφορος. ὅταν οὖν πολὺ ᾖ τὸ θερμόν, δαψιλὴς δὲ ἡ ὑγρότης, τό τε τὴν μὲν προσπελάζουσαν ἐπιπολῆς ὑγρότητα ἐκκαίει καὶ ποιεῖ λιγνὺν ἅμα καὶ ἀτμούς. διαπνεῦσαν δὲ τὸ θερμὸν ἐκ τῆς πολλῆς ὑγρότητος ἐλαττοῦται κατὰ βραχὺ καὶ οὐκέτι ἐκκαίει τὴν ὑγρότητα, ἀλλὰ χέει καὶ ἀτμοὺς ἀντὶ λιγνύος ποιεῖ καὶ οὕτως διαδέχεται ὁ ὄμβρος τοὺς ἀνέμους καὶ πολλάκις ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλείους ἡμέρας κατέχει ὁ ὄμβρος ἐκλυθέντος τοῦ θερμοῦ καὶ μηκέτι ἰσχύοντος ἐκκαῦσαι τὴν ὕλην. διὰ τί δὲ πολλοὶ καὶ συνεχεῖς βόρειοι καὶ ἐτήσιοι ἄνεμοι κατὰ τὸ θέρος γίγνονται; ὅτι ὁ ἥλιος ὑπὸ τὸν βόρειον πόλον εὑρὼν ὑγρασίαν πλείστην, τοῦτο μὲν ἐν χιόνι, τοῦτο δὲ ἐν ὕδατι πεπηγόσι, καὶ ταύτην τήκων κατὰ βραχύ, μερίζει μὲν εἰς γένεσιν ποταμῶν καὶ λιμνῶν, ἐκχέει δὲ καὶ πηγὰς ἐπὶ τῆς γῆς καὶ διὰ τοῦτο πολλὰς ἀναθυμιάσεις ἐργάζεται, ἃς εἰς φλόγα ἐκκαίων σὺν ταῖς ἐν τῇ γῇ πολλῷ τῷ χρόνῳ κεκρυμμέναις θερμότησι λιγνυώδεις αὐτὰς ἐργάζεται καὶ εἰς ἀνέμου χρονίου ῥύσιν ποιεῖ τὸ κατὰ βραχὺ ἐκκαιόμενον.

163 (50) κοινῶς μὲν οὖν πᾶς ἄνεμος ἐκτενεστέραν ἀπόλαυσιν ἀέρος παρέχει τοῖς σώμασι, τῇ βίᾳ τῆς κινήσεως εἰσάγων τὸν ἀέρα. καὶ οἱ μὲν τοπικοὶ τῶν ἀνέμων παραπλήσιοι τοῖς τόποις εἰσίν, ἀφ' ὧν πνέουσιν· οἱ μὲν γὰρ ἀπὸ ὑγιεινῶν χωρίων ὑγιεινοί, οἱ δὲ ἀπὸ νοσερῶν νοσεροί· ὅθεν ἐκ τῶν προειρημένων περὶ ἀέρος καὶ περὶ τούτων δεῖ τεκμαίρεσθαι. συντόμως δὲ εἰπεῖν ἅπαντες οἱ τοπικοὶ ἄνεμοι τῶν καθολικῶν νοσερώτεροί εἰσι καὶ γὰρ ἀνωμάλως διατίθενται τὰ σώματα, μήτε ὅλον τὸν ἀέρα συγκινοῦντες, μήτε δι' ὅλης τῆς ἡμέρας πνέοντες. μάλιστα γὰρ οἱ ἐντόπιοι περὶ τὸν ὄρθρον μόνον πνέουσιν, οὓς οἱ ναῦται ἀπογείους καλοῦσι. τῶν δὲ καθολικῶν ἀνέμων οἱ μὲν ἀπὸ τῆς μεσημβρίας νότοι καλούμενοι θερμοὶ κατὰ τὴν κρᾶσιν ὑπάρχοντες, ἀεὶ ὡς ἐπίπαν μέν εἰσι καὶ ὑγροί. μεταλλάττονται δὲ ἐνίοτε πρὸς τὰς ὥρας τοῦ ἔτους καὶ γίγνονται θερμοὶ καὶ ξηροὶ καὶ διὰ τοῦτο ποικίλα νοσήματα γεννῶσιν. οἱ δὲ βορεινοὶ ψυχροὶ τὴν κρᾶσιν καὶ διὰ τοῦτο καὶ ὑγιεινότατοι πάντων ἀνέμων καὶ μάλιστα ἐπὶ τῶν θερμοτέρων καὶ πολυσάρκων σωμάτων. οἱ δὲ ἀνατολικοὶ ἄνεμοι ἰσχυρότατοι σφόδρα καὶ τῶν κατὰ ξηρότητα συμβαινουσῶν νόσων ἀποτελεστικοί. οἱ δὲ δυτικοὶ ὑγροὶ καὶ προσηνεῖς καὶ οἰκειότεροι μᾶλλον τοῖς σώμασιν ἡμῶν. Περὶ ἐπισημασιῶν.

164 Ἐπεὶ δὲ οἱ κατ' οὐρανὸν ἀστέρες ἀνατέλλοντες κατὰ τοὺς τεταγμένους αὐτοῖς ὑπὸ τοῦ θεοῦ καιροὺς καὶ δύνοντες ὁμοίως τὸν ἀέρα ἀλλοιοῦσιν, ὡς συμβαίνειν ἐκ τούτου καὶ τοὺς ἀνέμους ἄλλοτε ἄλλους πνεῖν, ἀναγκαῖον ἐνόμισα ἐνταῦθα δηλῶσαι καὶ τοὺς καιρούς, ἐν οἷς αἱ τῶν σαφῶς ἀλλοιούντων τὸν ἀέρα ἀνατολαὶ καὶ δύσεις γίγνονται· καὶ γὰρ καὶ τῶν ὑγιαινόντων τὰ σώματα καὶ πολλῷ μᾶλλον τῶν νοσούντων ἀλλοιοῦται πρὸς τὴν τοῦ ἀέρος κατάστασιν. μηνὶ Δύστρῳ, ὅ ἐστι Μαρτίῳ, ιθ ὁ λεγόμενος ἵππος ἑῷος ἀνατέλλει. μηνὶ Μαρτίῳ κγ ἰσημερία ἐαρινὴ καί ἐστι μεγίστη ταραχὴ τοῦ ἀέρος. μηνὶ Ἀπριλλίῳ πρώτῃ Πλειάδες ἀκρόνυχοι φαίνονται· μηνὶ Ἀπριλλίῳ ιθ Πλειάδες ἑσπέριοι κρύπτονται· μηνὶ Ἀπριλλίῳ κα Πλειάδες ἅμα ἡλίου ἀνατολῇ ἐπιτέλλουσι καί ἐστι μεγίστη ἡ περὶ τὸν ἀέρα ταραχή· μηνὶ Ξανθικῷ κζ Ὠρίων ἑσπέριος κρύπτεται. μηνὶ Ἀρτεμισίῳ· ὅ ἐστι Μαίῳ, α Ὑάδες ἅμα ἡλίου ἀνατολῇ ἐπιτέλλουσι. μηνὶ Μαίῳ δ Λύρα ἑσπέριος ἐπιτέλλει καὶ ἀλλοιοῦται ὁ ἀὴρ ἱκανῶς· μηνὶ Μαίῳ ς Αἲξ ἑῷος ἀνατέλλει καὶ σφόδρα ἀλλοιοῦται ὁ ἀήρ· μηνὶ Μαίῳ ζ Πλειάδες ἑῷαι φαίνονται καὶ ἄρχεται ὁ ἀὴρ καθίστασθαι· μηνὶ Μαίῳ ιθ Ὑάδες ἑῷαι φαίνονται καὶ ἀλλοιοῦται πάνυ ὁ ἀὴρ πρὸ μιᾶς ἢ δύο· μηνὶ Μαίῳ κδ Αἲξ ἑσπέριος κρύπτεται· κινεῖται ὁ ἀὴρ πρὸ δύο ἡμερῶν. μηνὶ Ἰουνίῳ β Ἀετὸς ἑσπέριος ἐπιτέλλει· μηνὶ Ἰουνίῳ ς Ἀρκτοῦρος ἑῷος δύνει· μηνὶ Ἰουνίῳ θ Δελφὶς ἑσπέριος ἐπιτέλλει. μηνὶ Ἰουνίῳ κε Ὠρίων ἑῷος ἄρχεται ἐπιτέλλειν· εἰσὶ δὲ τροπαὶ θεριναὶ καὶ ἀλλοιοῦται σφόδρα ὁ ἀὴρ πρὸ τριῶν ἡμερῶν. μηνὶ Ἰουλίῳ γ Ὠρίων ὅλος ἐπιτέλλει· μηνὶ Ἰουλίῳ ιδ Προκύων ἑῷος ἐπιτέλλει· μηνὶ Ἰουλίῳ ιθ Κύων ἑῷος ἐπιτέλλει καὶ γίγνεται μεγίστη τοῦ ἀέρος ταραχή, ἐνίοτε πρὸ δύο ἡμερῶν· μηνὶ Ἰουλίῳ κε Ἀετὸς ἑῷος δύνει, κινεῖται δὲ ὁ ἀὴρ πρὸ τριῶν ἡμερῶν. μηνὶ Αὐγούστῳ ιε Λύρα ἑῷος δύνει· μηνὶ Αὐγούστῳ ιθ Δελφὶς ἑῷος δύνει καί ἐστι τροπὴ τοῦ θέρους ἐπὶ τὸ ψυχρόν· μηνὶ Αὐγούστῳ κη Προτρυγητὴρ ἑῷος ἐπιτέλλει καὶ Ὀιστὸς δύνει· ἐστὶ δὲ τὸ τέλος τῶν μετὰ τὴν ἐπιτολὴν τοῦ Κυνὸς ἡμερῶν μ . μηνὶ Σεπτεμβρίῳ ζ Αἲξ ἑσπέριος ἐπιτέλλει· μηνὶ Σεπτεμβρίῳ ιδ Ἀρκτοῦρος ἐπιτέλλει καὶ ἀλλοιοῖ τῇ ἑξῆς τὸν ἀέρα· μηνὶ Σεπτεμβρίῳ ιθ Στάχυς ἑῷος ἐπιτέλλει, ἀλλοιοῦται δὲ ὁ ἀὴρ πρὸ β ἡμερῶν· μηνὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σεπτεμβρίῳ κε ἰσημερία φθινοπωρινὴ καί ἐστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ γ ἡμερῶν· διὸ παραφυλάττεσθαι χρὴ μηδὲ φλεβοτομεῖν μηδὲ καθαίρειν μηδ᾽ ἄλλως τὸ σῶμα κινεῖν σφοδρᾷ κινήσει ἀπὸ ιε τοῦ Σεπτεμβρίου μέχρι κδ . μηνὶ Ὀκτωβρίῳ ς Στέφανος ἑῷος ἐπιτέλλει καί ἐστι σφοδρὰ μεταβολὴ τοῦ ἀέρος· μηνὶ Ὀκτωβρίῳ ζ Ἔριφοι ἑσπέριοι ἐπιτέλλουσιν· μηνὶ Ὀκτωβρίῳ ιζ Ὑάδες ἑσπέριοι ἐπιτέλλουσι καὶ ἱκανὴ ταραχὴ τοῦ ἀέρος γίγνεται· μηνὶ Ὀκτωβρίῳ κγ ἅμα ἡλίου ἀνατολῇ Πλειάδες δύνουσι καί ἐστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ α ἡμέρας. μηνὶ Νοεμβρίῳ ς Πλειάδεις ἑῷαι δύνουσι καὶ ἄρχεται καθίστασθαι ὁ ἀήρ· μηνὶ Νοεμβρίῳ ιγ Λύρα ἑῷος ἐπιτέλλει· μηνὶ Νοεμβρίῳ κα Ὑάδες ἑῷαι δύνουσι καὶ ταραχὴ περὶ τὸν ἀέρα γίγνεται τῇ ἑξῆς· μηνὶ Νοεμβρίῳ κζ Ὠρίων ἐπιτέλλει καὶ Στέφανος δύνει. μηνὶ Δεκεμβρίῳ α Κύων ἑῷος δύνει· τετήρηται δὲ τοῖς πολλοῖς, ὡς εἴγε χειμάσειε ταύτῃ τῇ ἡμέρᾳ, ἐπιμένει ὡς ἐπίπαν ἡ ταραχὴ τοῦ ἀέρος μέχρις ἡμερῶν λζ · εἰ δὲ εὐδιάσει, τὸ αὐτὸ συμβαίνει· μηνὶ Δεκεμβρίῳ ι Ἔριφοι ἑῷοι δύνουσι· μηνὶ Δεκεμβρίῳ κα Αἲξ ἑῷος δύνει, ταραχὴ δὲ γίγνεται μετὰ μίαν ἡμέραν· μηνὶ Δεκεμβρίῳ κγ τροπαὶ χειμεριναί.

164 μηνὶ Ἰαννουαρίῳ δ Δελφὶς ἐπιτέλλει· μηνὶ Ἰαννουαρίῳ ε Ἀετὸς ἑσπέριος δύνει, ταραχὴ δὲ σφοδρὰ γίγνεται μετὰ δύο ἡμέρας· μηνὶ Ἰαννουαρίῳ κε ὁ λαμπρὸς ἀστὴρ ἐν τῷ Λέοντι δύνει, κινεῖ πρὸ Γ ἡμερῶν τὸν ἀέρα· μηνὶ Ἰαννουαρίῳ κη Δελφὶς ἑσπέριος δύνει. μηνὶ Φευρουαρίῳ ς ζέφυρος πνεῖ· μηνὶ Φευρουαρίῳ κβ Ὀιστὸς δύνει ἑσπέριος καί ἐστι ταραχὴ ἱκανὴ τοῦ ἀέρος· μηνὶ Φευρουαρίῳ κε Ἀρκτοῦρος ἑσπέριος ἐπιτέλλει· μηνὶ Φευρουαρίῳ κς χελιδόνες φαίνονται. Περὶ ὑδάτων ἐκ τῶν Ῥούφου.

165 Τῶν πινομένων ὑδάτων πέντε εἰσὶν αἱ καθόλου διαφοραί· ὄμβριόν τε γὰρ καὶ πηγαῖον καὶ φρεάτιον καὶ ποτάμιον καὶ λιμναῖον· φαίνεται δὲ τούτων τὸ μὲν ὄμβριον κουφότατον καὶ εὐμεταβλητότατον· καὶ τοῖς ἄλλοις πάθεσι πίνεσθαι κάλλιστον παραχρῆμα ἠθούμενον καὶ ἐξουρούμενον, πυρετῷ δὲ καὶ χολέρᾳ καὶ ἰκτερικοῖς ἀνάρμοστον· τρέπεται γὰρ ῥᾳδίως καὶ ἀποχολοῦται· εὔθετον δὲ φάρμακον ὀφθαλμικοῖς, ὅσα ῥευμάτων ἐστὶν ἢ ἑλκῶν, τοῖς δὲ ὀξυδερκέσιν οὐ κατάλληλον, οὐδὲ ταῖς πλύσεσι τῶν μεταλλικῶν φαρμάκων· στύψιν γὰρ πλείω τοῦ πηγαίου ἔχει· διὸ οὔτε ῥύπτει οὔτε ἕψει ῥᾳδίως οὔτε βρέχει· καὶ τὰς ἐκκρίσεις ἐμποδίζει· χρονίζον δὲ στρυφνότερον καὶ βραδυπορώτερον γίγνεται καὶ δυσδιαχωρητότερον βραδύτερόν τε πέττει καὶ ἀναδίδοται. γεννᾷ δὲ καὶ κατάρρους, μάλιστα εἰ ψυχρὸν πίνοιτο. τῶν δὲ πηγαίων ὑδάτων ὅσων αἱ πηγαὶ πρὸς ἄρκτους ἐρρώγασιν ἐκ πετρῶν λειβόμεναι τὸν ἥλιον ἀπεστραμμένων, ἀτέραμνά τε καὶ βραδύπορα τὰ τοιαῦτα ὕδατα καὶ βραδέως θερμαίνεταί τε καὶ ψύχεται· ὅσων δὲ πρὸς τὰς ἀνατολὰς ἐρρώγασιν αἱ πηγαὶ καὶ διὰ πόρου τινὸς ἢ γῆς καθαρᾶς διηθεῖται, θερμαίνεταί τε καὶ ψύχεται τάχιστα, ταῦτά ἐστιν ἄριστα, εἰ μή τις ἀπὸ ὀχετῶν τινων αὐτοῖς κακία προσγίγνοιτο. τὸ δὲ φρεάτιον ψυχρὸν γεῶδες δυσέκκριτον δυσανάδοτον καὶ διὰ τοῦτο τοῖς καυσουμένοις στόμαχον ἢ γαστέρα ἐπιτηδειότερον τοῦ πηγαίου. ποτάμια δὲ ὕδατα καὶ λιμναῖα πάντα κακά, πλὴν τοῦ Νειλώου· τοῦτο γὰρ πάσαις ἀρεταῖς κεκόσμηται· καὶ γὰρ καὶ πινόμενον ἡδὺ καὶ μέτριον χρόνον ἐν κοιλίᾳ διατρίβει, ἄδιψόν τέ ἐστι· καὶ εἰ ψυχρόν τις πίνοι ἀλυπότατον καὶ εἰς πέψιν καὶ ἀνάδοσιν χρήσιμον· ὅθεν εὐάρμοστον καὶ ῥωμαλέον καὶ εὔχρουν. τὸ δὲ τῶν ἄλλων ποταμῶν ὕδωρ δυσκατέργαστον καὶ κατάξηρον καὶ διψῶδες καὶ μάλιστα ὅταν μοχθηρά τινα χωρία διοδεύῃ. ἀμείνους δέ εἰσι τῶν ποταμῶν ὅσοι διὰ πηγῶν ἀεννάων ῥέουσι καὶ ὅσοι ἀμιγεῖς εἰσιν ἄλλοις ποταμοῖς. τὸ δὲ λιμναῖον ὕδωρ διά τε τὰ πέριξ τέλματα ἰλυῶδες καὶ βαρὺ ὑπάρχον διά τε τὴν στάσιν καὶ ἀκινησίαν οἷον νενεκρωμένον καὶ σεσηπός, ὥστε οὐδέποτε παρόντος ὕδατος ἑτέρου μεταδοτέον τούτου τοῖς ἀσθενοῦσι. καὶ περὶ δὲ τὴν γῆν καὶ τὰ κλίματα διαφοραὶ τῶν ὑδάτων πλεῖσται γίγνονται· συντόμως δὲ εἰπεῖν τὸ τῇ γεύσει συνηρμοσμένον καὶ τὸ ἐκ τῆς πείρας τῶν ἐνοικούντων μαρτυρούμενον ἄριστον ἡγητέον. τὸ γὰρ ταχέως θερμαινόμενόν τε καὶ ψυχόμενον καὶ ῥᾳδίως ἕψοῦν κρέα τε καὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλα πάντα καὶ τὰ σιτία ἐν τῇ γαστρὶ πέττει. ὅσα δὲ τῶν ὑδάτων στύψιν ἢ ἁλμυρίδα ἢ νιτροδίαν ἢ πλατύτητα ἢ ἄλλο τι παρεμφαίνει γευομένοις, πονηρά· καὶ τὰ δύσοσμα καὶ ὅσα ἐπίπαγον ἴσχει καὶ ὑπόστασιν δυσώδη καὶ στερεὰν καὶ ὅσα προσπήγνυται τοῖς χαλκείοις λιθωδῶς καὶ ὅσα βδέλλας τρέφει ἢ τοιαῦτά τινα μοχθηρὰ ζῷα καὶ τὰ στάσιμα καὶ τὰ ἑλώδη καὶ τὰ ἐν μετάλλοις χρυσοῦ ἢ ἀργυροῦ ἢ στυπτηρίας ἢ θείου ἢ τῶν ὁμοίων ὅσοις τε ἐμπεφύκασι ῥίζαι οὐκ ἐπιτήδεια· καὶ οἷς γειτνιᾷ θερμὰ ὕδατα πάντα τὰ τοιαῦτα πονηρά. ἄριστον οὖν τὸ τοιοῦτον ὕδωρ προεψήσαντας ἐν κεραμείοις ἀγγείοις καὶ ψύξαντας καὶ πάλιν θερμάναντας πίνειν. ἐν δὲ ταῖς ὁδοιπορίαις ἢ στρατοπέδῳ βόθρους ὀρυκτέον ἐφεξῆς ἀπὸ τῶν ὑψηλοτάτων εἰς τὰ κατάντη καὶ διὰ τούτων ἀκτέον τὸ ὕδωρ, ἐμβάλλοντα εἰς τοὺς βόθρους ὅλους γῆν γλυκεῖαν καὶ λιπαράν, ἀφ’ ἧς οἱ κέραμοι γίνονται. ἀεὶ γὰρ ἐν τοῖς βόθροις ἐγκαταλείπεται ἡ τοῦ ὕδατος κακία.

165 (50) καθόλου δὲ ἅπαν ὕδωρ βραδύπορον δύσπεπτον φυσῶδες καὶ μάλιστα τὸ ψυχρὸν κατάρρων ποιητικόν. εἰ δὲ λάχανα προσφερόμενός τις πίνοι ὕδωρ κίνδυνος μᾶλλον· ἀχώραν καὶ ψώραν καὶ λέπραν ἐξανθήματά τε καὶ λειχῆνας πίτυρα ἕλκη σηπόμενα ἕρπητας σατυριάσεις ἤ τούτων τι τὸν ἄνθρωπον ἔχειν καὶ προσέτι οὖρα δακνώδη καὶ διαχωρήματα καὶ μᾶλλον εἰ νιτρῶδες εἴη τὸ ὕδωρ. ἀνάρμοστον δὲ καὶ θώρακι καὶ ἡλκωμένῃ ἀρτηρίᾳ τὸ νιτρῶδες καὶ νεφροῖς καὶ κύστει καὶ πᾶσιν ἕλκεσι· βοηθεῖ δὲ τῷ μὲν νιτρώδει τὰ ἀμβλύνοντα σιτία καὶ οἶνοι [οἱ τοιοῦτοι], τῷ δὲ παχεῖ τὰ τέμνοντα καὶ λεπτύνοντα, οἷον σκόρδα καὶ τὰ παραπλήσια, τὰ δὲ στυπτηριώδη, οἶνος λευκὸς οὐρητικός, κατὰ πάντα καὶ πάντα τὰς ἐκκρίσεις προτρέποντα. δοκεῖ δὲ ὕδωρ ἁρμόζειν κεφαλῆς ἀλγήμασιν ἀμβλυωπίαις ἐπιληπτικοῖς ἀρθριτικοῖς τρομώδεσι παραλελυμένοις καθ’ αὑτὸ καὶ μετὰ μέλιτος προπινόμενον, οἰκειότερον δὲ ταῖς ὑστερικῶς πνιγομέναις καὶ τοῖς χολῶδες γεννῶσιν ἢ μέλαν καὶ πυρῶδες, ὑφ’ οὗ στόμα κοιλίας δάκνεται καὶ ἀτόνῳ κοιλίᾳ καὶ νήστει καὶ τοῖς ἱδρωτικοῖς νέοις εὐσάρκοις καὶ τοῖς πιμελώδεσι καὶ πᾶσι καὶ τοῖς ὑπερκαθαιρομένοις καὶ τοῖς αἱμορραγοῦσιν ἐκ τραύματος ἢ μυκτήρων ἢ ἑτέρου τόπου. εὐθετεῖ δὲ καὶ καυσώδει πυρετῷ ἐν καιρῷ διδόμενον, εὐθετεῖ δὲ καὶ τοῖς ὀνειρώττουσι συνεχῶς καὶ γονορροικοῖς πινόμενον· οἱ δὲ καὶ νηχόμενοι καὶ προσαντλούμενοι ὠφελοῦνται καὶ γυναιξὶ ῥοώδεσι καὶ κιττώσαις ἁρμόζει καὶ τοῖς λύζουσι καὶ τοῖς στόμα δυσῶδες ἔχουσι ψυχρὸν πινόμενον, χλιαρὸν δὲ ἁρμόδιον ἐπιληπτικοῖς κεφαλαλγικοῖς ὀφθαλμιῶσιν οὔλοις ὀδόντων ἀναβιβρωσκομένοις καὶ ὀδοῦσι τιτραμένοις οὐλῶν ἀποστήμασι καὶ αἱμάσσουσι καὶ φάρυγγι ἡλκωμένῃ παρισθμίων ῥεύματι ἀπὸ κεφαλῆς μελαγχολίᾳ πυρώδει καὶ χολέρᾳ καταρχὰς καὶ ἐμέσασιν ἐν πυρετῷ χολώδει. ἁρμόζει δὲ τὸ χλιαρὸν ὕδωρ καὶ ὅταν τῷ ψυχρῷ κώλυμα ᾖ καὶ τοῖς ἕλκη ἔχουσιν περὶ τὸ διάφραγμα καὶ τοῖς αἷμα πτύουσι καὶ ῥήγμασι τοῖς ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ὑμένι. θερμὸν δὲ ὕδωρ ἁρμόζει, ὅπου δεῖ ἔκκρισιν παρασκευάσαι καὶ ὅπου λεπτύναι καὶ ὅπου διαχέαι ἢ τῆξαι ἢ ἁπαλύναι ἢ συμπέψαι ἢ διαφορῆσαι. καθόλου μὲν οὖν ταῦτα δύναται τὸ θερμὸν πινόμενον· κατὰ μέρος δὲ μύξαν ἄγειν καὶ ἀναχρέμψει συνεργεῖν καὶ ὀδύνην πᾶσαν πραΰνειν καὶ μάλιστα ἐν ὑποχονδρίοις καὶ ἐντέροις ἐρυγὴν κινῆσαι καὶ φῦσαν προσκαλέσασθαι καὶ οὖρον ἀγαγεῖν καὶ διαχώρημα. ἀγαθὸν καὶ πέψαι ἀναδοῦναι θρέψαι αὐξῆσαι γυναικείων ἀγωγόν, νεύροις καὶ ἄσθμασιν ἐπιτήδειον καὶ πλευρίτιδι καὶ περιπνευμονίᾳ καὶ συνάγχῃ. εἴτε οὖν τρέφει, εἴτε οὐ τρέφει, εἴτε τῆς τροφῆς ἐστιν ὄχημα, οὐ πρόκειται ζητῆσαι ἐνταῦθα· ὃ δὲ εἰπεῖν ἀναγκαῖον τοῦτό ἐστιν ὡς ὕδατος χωρὶς πεφθῆναι τροφὴν ἀδύνατον, ὥσπερ οὐδὲ χωρὶς ὕδατος ἑψηθῆναί τι χρησίμως δυνατόν· τὸ δὲ ἀπὸ κονίας ὕδωρ πινόμενον σπληνικοὺς ὠφελεῖ. καὶ εἴ τις ἄρτον ἐκ τοιούτου ὕδατος σκευάσας αὐτοῖς δοίη, ἱκανῶς ὠφελεῖ. Περὶ λουτρῶν Γαληνοῦ.

166 Τῶν λουτρῶν τὰ μέν ἐστι γλυκέα ἢ ἄποια, τὰ δὲ ἔχει ποιότητά τινα καὶ τῶν ἑτέραν ποιότητα ἐχόντων τὰ μὲν ἐξ ἐπιτηδεύσεως ἡμετέρας ἔχει τὴν δύναμιν, τὰ δὲ αὐτοφυῆ δύναμιν κέκτηται.

πρῶτον μὲν οὖν περὶ τῶν γλυκέων ῥητέον, ἐπειδὴ τούτων ἡ χρεία πλείων. τῶν γλυκέων τοίνυν ὑδάτων ἡ δύναμις εὐκράτων μὲν ὄντων, ὑγρὰ καὶ θερμή, χλιαρῶν δὲ γενομένων ὑγρὰ καὶ ψυχρά, θερμοτέρων δὲ τοῦ δέοντος ἀποτελεσθέντων, θερμὴ μέν, οὐκέτι δὲ ὁμοίως ὑγρά· φρίττειν γὰρ ἀναγκάζει τὰ σώματα καὶ πυκνοῦσθαι τοὺς πόρους αὐτῶν, ὥστε μήτ᾽ ἀπολαύειν ἔτι τῆς ἔξωθεν ὑγρότητος, μήτε ἐκκενοῦσθαί τι τῶν ἔνδον περιττωμάτων. ἀλλὰ γὰρ ἀπὸ τῶν εὐκράτων ἀρκτέον. διὰ παντὸς μὲν οὖν ὑγραίνει τὰ εὔκρατα καὶ θερμαίνει καθ᾽ ἑαυτά· συμβαίνει δ᾽ αὐτοῖς ἐνίοτε ἤτοι διαφορεῖν τὰς ὑγρότητας ἔκ τινων μορίων τοῦ σώματος ἢ μαλάττειν ἢ πέττειν ἢ ῥωννύναι τὴν δύναμιν ἢ καταλύειν. εἰς ταῦτα μέντοι καὶ ἡ ποσότης αὐτῶν οὐκ ὀλίγα συντελεῖ· ἁρμόδια δὲ τὰ τοιαῦτα τῶν λουτρῶν, λέγω δὴ τὰ γλυκέα καὶ εὔκρατα, ἐπί τε πυρετῶν καταξήρων καὶ ἀνίκμων καὶ μάλιστα ἐπὶ τῶν ἀμέτρως διψώντων ἐπί τε ἡλιώσεως ἰσχυρᾶς καὶ ἐπὶ ψωρωδῶν ἐξανθημάτων. δεῖ δὲ καὶ τὸν ἀέρα τοῦ λουτροῦ ὑγρὸν κατασκευάζειν, τοῦ ἐδάφους καὶ τῶν τοίχων ὕδατι καταρραινομένων. θερμὰ δὲ κατ᾽ ἐπιτήδευσιν ἡμετέραν κατασκευάζεται λουτρὰ ψῦξιν ἐνοχλοῦσαν παῦσαι βουλόμενοι ἢ κοπώδη διάθεσιν ἢ σπασμὸν ἢ ὀδύνην παραμυθήσασθαι. γίγνεται δὲ θερμὰ θερμαντικῶν τινων ἐγκαταμιγνυμένων τῷ ὕδατι, οἷον γλήχωνος ὀριγάνου ὑσσώπου θύμου θύμβρας ἐλελισφάκου δάφνης φύλλων πυρέθρου χαμαιπίτυος πάνακος ῥίζης κάχρυος ῥίζης καὶ σπέρματος καὶ τῶν παραπλησίων. Ἀρχιγένους.

166bis Λουτροῖς δὲ διαφορητικοῖς χρώμεθα ἤτοι τὴν ἕξιν τοῦ σώματος ἰσχνᾶναι βουλόμενοι ὡς ἐπὶ τῶν καταπιμέλων κἀπὶ τῶν κατὰ πάθος ἐξῳδηκότων ἢ τὸ πᾶν σῶμα ἢ μέρος τι, οἷον ἐπιγάστριον ὄρχεις πόδας ὡς ἐπὶ ὑδρωπικῶν. χρώμεθα δὲ ἐπὶ τῶν ῥευματιζομένων ἑλκῶν διὰ πλῆθος ὑποκειμένων ἐν ὅλῳ τῷ σώματι ἢ κιρσῶν ὑποκειμένων τῷ ἕλκει. γίγνεται δὲ διαφορητικὰ τὰ λουτρὰ ἐμβαλλομένων τῷ ὕδατί τινων τοιούτων· ἅλες νίτρον ἡ αὐτὴ θάλασσα θερμαινομένη καὶ μέλι συμπλεκόμενον ὕδατι σταφὶς ἀγρία συνεψομένη τέφρα συκίνη ἢ ἀμπελίνη ἀποπλυνομένη τῷ ὕδατι ἀρκευθίδες συνεψόμεναι θεῖον ἄπυρον λιμνῆστις, ὃ καλεῖται ἀδάρκη, συνεψομένη ἢ στυπτηρία. μαλακτικοῖς δὲ καὶ πραυντικοῖς λουτροῖς χρώμεθα ἐπὶ φλεγμονῆς καὶ σκληρίας τινὸς τῶν μορίων. τοιαῦτα δὲ γίγνεται μαλάχης συνεψομένης τῷ ὕδατι τῆς τε ἡμέρου καὶ τῆς ἀγρίας καὶ λινοσπέρμου καὶ τήλεως καὶ μελιλώτων. ἐπὶ δὲ τῶν ῥευματικῶν φλεγμονῶν ἀρνόγλωσσον ἢ πολύγονον ἐναφεψόμενον τῷ ὕδατι ἢ σίδια ῥοιᾶς ἢ βάτου φύλλα. ἐπὶ δὲ τῶν σπασμῶν ἀπειλούντων φλεγμονὴν χρώμεθα μὲν τοῖς ἐπὶ τῶν ἄνευ ῥευματισμοῦ φλεγμονῶν, τοῖς ἤδη προειρημένοις, μάλιστα δὲ ὑδρέλαιον τούτους ὀνίνησιν ἔχον μαλάχην τῆλιν λινόσπερμον ἐναφεψημένα. σκληρίας δὲ οὔσης χωρὶς φλεγμονῆς τοῖς προειρημένοις διαφορητικοῖς χρησόμεθα. Περὶ λουτρῶν αὐτοφυῶν Ἀρχιγένους.

167 Τῶν δὲ αὐτοφυῶν λουτρῶν τὰ μέν ἐστι νιτρώδη τὰ δὲ ἁλμυρὰ τὰ δὲ στυπτηριώδη τὰ δὲ θειώδη τὰ δὲ ἀσφαλτώδη τὰ δὲ σιδηρίζοντα τὰ δὲ χαλκοῦ ἔχει τὴν ποιότητα τὰ δὲ σύνθετα ἐκ τούτων ἐστί. τῶν τοιούτων δὲ πάντων δύναμίς ἐστι ξηραντική· τινὰ δὲ αὐτῶν σὺν τῷ ξηραίνειν καὶ θερμαίνει γενναίως, τινὰ δὲ σὺν τῷ ξηραίνειν στύφει, καθάπερ τὰ στυπτηριώδη, ἐκ μέρους δὲ καὶ τὰ ἁλμυρὰ καὶ τὰ χαλκοῦ ποιότητα κεκτημένα. ἁρμόδια δέ ἐστι πάντα τοῖς ὑγροῖς καὶ ψυχροῖς παρὰ φύσιν σώμασι καὶ νοσήμασι τοιούτοις χρονίζουσι, διὰ τοῦτο κατάλληλα ἀρθρίτιδι ποδάγρᾳ παρέσεσι νεφρίτιδι ἀσθματικοῖς κατάγμασι πωρώσεως δεομένοις ἕλκεσι ῥευματικοῖς φλεγμοναῖς χρονιζούσαις καὶ ἤδη σκληρυνομέναις. ἤδη δὲ τὰ μὲν νιτρώδη καὶ ἁλμώδη κεφαλῇ κατάλληλα καὶ θώρακι ῥευματιζομένῳ καὶ στομάχῳ καθύγρῳ καὶ ὑδρωπικοῖς καὶ οἰδήμασι πᾶσι· τὰ δὲ στυπτηριώδη αἵματος ἀναγωγαῖς ἐμετικῷ στομάχῳ καὶ τοῖς ἀμέτρως ὑπὸ αἱμορροίδων ἐκκενουμένοις καὶ γυναιξὶν ἀτάκτως καθαιρομέναις ἢ ὑπερκαθαιρομέναις καὶ ταῖς χωρὶς φανερᾶς προφάσεως συνεχῶς ἐκτιτρωσκούσαις. ὀνίνησι δὲ καὶ τοὺς ὑπὲρ τὸ δέον ἱδροῦντας καὶ τοὺς βραδυπεπτοῦντας καὶ τὰ ἐν κνήμαις οἰδήματα κιρσοῖς σύμφορα. τὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θειώδη νεύρων τε μαλακτικὰ καὶ τῶν τεινεσμωδῶν πόνων παρηγορικά, στόμαχον δὲ ἐκλύει καὶ ἀνατρέπει· κενοῖ δὲ τὴν ἐπιφάνειαν καὶ διὰ τοῦτο βοηθεῖ ἀλφοῖς λεύκαις λέπραις ψώραις λειχῆσιν ἕλκεσι πολυχρονίοις ἄρθρων ῥεύμασι σπληνὶ σκιρρώδει ἥπατι καὶ ὑστέρᾳ παρειμένοις καὶ ἰσχιαδικοῖς καὶ κνησμοναῖς. τὰ δὲ ἀσφαλτώδη κεφαλὴν συμπληροῖ καὶ τὰ αἰσθητήρια κακοῖ, θερμαίνει δὲ ἐμμόνως καὶ μαλάσσει σὺν χρόνῳ μάλιστα τὰ περὶ τὴν ὑστέραν καὶ κύστιν καὶ κῶλον. τὰ δὲ χαλκοῦ ποιότητα ἔχοντα στόματι καὶ παρισθμίοις καὶ σταφυλῇ καὶ ὄμμασι διαφερόντως ἐπιτήδεια. τὰ δὲ σιδηρίζοντα στομάχῳ καὶ σπληνὶ καταλληλότατα· μικτῆς γὰρ ὄντα ποιότητος κατὰ τὴν ἐπικράτειαν τῶν μεμιγμένων ἐνεργεῖ. δεῖ δὲ ὅτι μάλιστα τὰς εἰς τὰ αὐτοφυῆ θερμὰ ὕδατα ἐμβάσεις ἀθορύβως ποιεῖσθαι, ὅπως ἡ δύναμις ἀνειμένῳ τῷ σώματι προσπίπτουσα ἐγκαταδύοιτο· τῶν γὰρ ταραχωδῶς ἐμβαινόντων πυκνοῦται τὸ σῶμα φρίττον καὶ οὐκ εἰσδέχεται τὴν ἀπὸ τοῦ ὕδατος ποιότητα. τοῖς δὲ ἀσφαλτώδεσι καὶ θειώδεσι κρουνοῖς τῶν ὑδάτων οὐ δεῖ ὑποτιθέναι τὰς κεφαλάς· εὐμαρῶς γὰρ κακοῦνται. Περὶ ψυχρολουσίας ἐκ τῶν ὑγιεινῶν Γαληνοῦ. [30]

168 Ψυχρὰ λουτρὰ τοῖς ἀμέμπτως ὑγιαίνουσιν ἁρμόδια· κρατύνει γὰρ ἅπαν τὸ σῶμα καὶ τὸ δέρμα σκληρὸν καὶ πυκνὸν ἀποτελεῖ. κράτιστον δὲ τοῦτο πρὸς τὴν ἀπὸ τῶν ἔξωθεν βλάβην. οὔ φημι δὲ συμφέρειν αὐτὴν τοῖς κατὰ τὸ προστυχὸν διαιτωμένοις, ἀλλὰ μόνον τοῖς ἀκριβῶς βιοῦσι καὶ πόνοις καὶ σιτίοις κατὰ τὸ ἁρμόδιον χρωμένοις. ἔστωσαν δὲ μήτ’ ἐξ ἀφροδισίων μήτ’ ἄλλως κοπώδεις, μήτε ἄπεπτοι μήτε προεμέσαντες μήτε κατὰ γαστέρα κεκακωμένοι μήτε ἠγρυπνηκότες· σφαλερὸν γὰρ εἰ ἄλλως τις χρῶτο. δεῖ δὲ τοὺς ἀήθεις πρὸς ψυχρολουσίαν κατὰ βραχὺ ἐθίζειν καὶ πρῶτον μὲν θέρους ἀξιωτέον ἄρχεσθαι τῆς χρήσεως καὶ τὰς πρώτας μὴ εἰς ἀκραιφνὲς ψυχρὸν ἐμβαίνειν ἀλλ’ ἐκλελυμένον τὸν ἐπίπαγον· εἶτα ἐν ἔθει κατὰ βραχὺ γενόμενον διὰ τοῦ χειμῶνος ὅλου, οὕτως ἐπὶ τὸ ψυχρὸν παρελθεῖν. ἔστω δὲ καὶ ἡ ἡμέρα, καθ’ ἣν ἄρχεται, νήνεμος, ὡς [ὅτι] μάλιστα, καὶ θερμοτάτη τῶν κατ’ ἐκεῖνον τὸν καιρόν. καὶ ἐν ὥρᾳ μεσημβρινῇ ἀρχέσθω. ἔστω δὲ ὁ μέλλων χρήσασθαι τῷ ψυχρῷ τὴν μὲν ἡλικίαν περὶ ε καὶ κ ἔτος. ἔστω δὲ καὶ τὴν ψυχὴν εὔθυμός τε καὶ σφόδρα νεανίσκος. καὶ πρῶτον ἀνατριβέσθω τὸ σῶμα σινδόσιν ἐπὶ πλέον σκληροτέρᾳ τῇ τρίψει, ἐφεξῆς δὲ δι’ ἐλαίου τριβέσθω τοῦ συνήθους εἶτα γυμναζέσθω· ἔπειθ’ οὕτως εἰς τὸ ψυχρὸν καταβαινέτω μὴ βλακεύων ἀλλ’ ἀθρόως ἐναλλέσθω, ἵνα καθ’ ἕνα χρόνον ἅπασι τοῖς τοῦ σώματος μέλεσι περιχυθῇ τὸ ὕδωρ. τὸ γὰρ κατὰ βραχὺ πλησιάζειν φρίκην ἐμποιεῖ· ἔστω δὲ τὸ ὕδωρ, ὡς εἴρηται, μήτε χλιαρὸν μήτε ἀκραιφνὲς ψυχρόν. ἀνελθόντος δὲ τοῦ ὕδατος ὑπὸ πλειόνων ἀνατριβέσθω δι’ ἐλαίου, μέχρις ἂν ἐκθερμανθῇ τὸ δέρμα καὶ μετὰ ταῦτα σιτία μὲν πλείω τῶν εἰωθότων προσφερέσθω· καὶ γὰρ ὀρέγονται πλειόνων ἐπὶ ταῖς ψυχρολουσίαις καὶ πέττουσιν ἄμεινον καὶ διψῶσιν ἧττον· διὸ καὶ δοτέον αὐτοῖς ἔλαττον τὸ πόμα. Περὶ τῆς ἐμβάσεως εἰς ἔλαιον Γαληνοῦ. [25]

169 Αἱ εἰς ἔλαιον ἐμβάσεις ἐπιτήδειοι τοῖς χρονίως μετὰ ψύξεως πυρέττουσι καὶ τοῖς κεκοπωμένοις καὶ τοῖς ἀλγοῦσι τὰ πρὸς τοῖς ὀστοῖς κείμενα νεῦρα καὶ τοῖς σπωμένοις καὶ τοῖς ἰσχουροῦσι. δεῖ δὲ τὸ μὲν ε μέρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν, τὸ δὲ λοιπὸν ἐμβάλλειν τῇ ἐμβάσει. αὐτάρκως δὲ θερμὸν γίγνεται τὸ ἐν ταῖς μικραῖς ἐμβάσεσι τῶν βαλανείων ἐμβαλλόμενον. θερμανθὲν δὲ τὸ πέμπτον μέρος ἐμβαλλέσθω τῷ λοιπῷ καὶ οὕτως ἐμβιβαζέσθω ὁ πάσχων. Περὶ ἀποσπογγισμοῦ Ἀρχιγένους. [5]

170 Ἀποσπογγισμὸν παραλαμβάνομεν ἐπὶ μὲν τῶν ἄλλων μερῶν ἤτοι τὸν ἐπικείμενον ῥύπον ἀπονίψαι ἢ ἰχῶρα ἢ αἷμα ἢ πύον ἢ αὐτὰ τὰ φάρμακα ἢ ὑπὸ δήξεως ἢ κνησμοῦ ἐνοχλούμενα τὰ σώματα παρηγορεῖν πειρώμενοι· ἐπὶ δὲ τοῦ προσώπου νεαροποιῆσαι καὶ ἀναζωπυρῆσαι τὸ πνεῦμα βουλόμενοι, ὥστε ἐπὶ τῶν λειποθυμούντων ὕδωρ παραλαμβάνομεν, θέρους μὲν ψυχρόν, γαλακτῶδες δὲ χειμῶνος. ἐπὶ δὲ τῶν νοσούντων παραπεφυλαγμένως οὐκ ἐν ἀρχῇ οὐδ’ ἐν ἀναβάσει τοῦ παροξυσμοῦ ἀλλ’ ἐν ἀκμῇ καὶ παρακμῇ· ἐν γὰρ ταῖς ἀρχαῖς τῶν εἰσβολῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνακτώμεθα ὀσφραντοῖς· ἀξιοῖ δὲ Ἀρχιγένης ἐν ὑπερβολῇ καύσου κατὰ τὰς ἀκμὰς οὐ μόνον τὸ πρόσωπον ἀποσπογγίζειν ἀλλὰ καὶ τὸ στέρνον. Περὶ προσκλύσματος.

171 Καὶ τὰ προσκλύσματα δὲ τοῦ προσώπου παραλαμβάνομεν ἐπὶ τῶν νοσούντων διὰ τὰς προειρημένας αἰτίας, καὶ θέρους μὲν ἐπὶ τῶν καυσωδεστάτων πυρετῶν ψυχρὸν προσάγομεν, χειμῶνος δὲ θερμότερον· ἐπὶ δὲ τῶν ἁπλουστέρων πυρετῶν καὶ ἐπὶ στομάχου ἀνατροπῆς καὶ ὀξυκράτῳ προσκλύζομεν. φυλακτέον δὲ τὸν ἐγχρονισμὸν καὶ μάλιστα ἐπὶ τῶν εὐπαθῆ τὴν κεφαλὴν ἐχόντων. καταφορᾶς γὰρ καὶ ψύξεως κινδυνώδους κατάρχει. χρώμεθα δὲ προσκλύσματι καὶ ἐπὶ ῥευματιζομένων ὀφθαλμῶν ὠκίμου ἀφεψήματι ὡς ἐναργεστάτῳ καὶ στροβίλου κλωνίοις τεθλασμένοις ἀφεψήματι· ὑποκείσθω δὲ τῷ ἀνθερεῶνι ξηρὸς σπόγγος πρὸς τὸ μὴ καταρρεῖν ὕδωρ ἐπὶ τὸ στέρνον. Περὶ καταιονήσεων.

172 Καταιονήμασι χρώμεθα ἐφ’ ὧν λουτρὸν παραλαμβάνειν διά τινα περίστασιν κωλυόμεθα· καὶ ἐπὶ τῶν ἀγρυπνούντων ἐν πυρετοῖς καὶ παραφρονούντων χρώμεθα αὐτοῖς, οἷον ἀφεψήματι χαμαιμήλου, ἐνίοτε δὲ καὶ κωδύων· καὶ ἐλαίῳ δὲ κωδύας ἀφεψήσαντες καταιονοῦμεν τὴν κεφαλὴν καὶ παραχρῆμα ὕπνον ἡδὺν ἐπιφέρει. Ἀρχιγένης δὲ τὸν ἑαυτοῦ διδάσκαλον Ἀγαθῖνον ἐν ἀγρυπνίᾳ παρακοπτικῇ καταιονήσας ἐλαίῳ πολλῷ θερμῷ τὴν κεφαλὴν παραχρῆμα καὶ τῆς παρακοπῆς ἔπαυσε καὶ τῆς ἀγρυπνίας. ἐπὶ δὲ τῶν κυνικῶς σπωμένων ἐλαίῳ σικυωνίῳ θερμῷ ἤ τινι τῶν παραπλησίων τὴν κεφαλὴν καταντλητέον, καὶ ἐφ’ ὧν τὸ νευρῶδες ἰσχυρῶς κεκάκωται. εἰ δὲ περίψυξις καὶ τρόμος τῇ κακώσει τῶν νεύρων ἐπακολουθείη καὶ καστόριον τῷ σικυωνίῳ παραμικτέον· ἐπὶ ποδαγρικῶν τε καταιονοῦμεν πρασίῳ ἐν ὕδατι ἢ οἴνῳ ἡψημένῳ. Περὶ ἐγκαθισμάτων.

173 Ἐγκαθίσματα παραλαμβάνομεν ἐπὶ τῶν φλεγμαινόντων μερῶν ἢ δι’ ἀπορίαν βαλανείου ἢ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν ἢ δι’ ἕτερόν τι κωλύον. ἐπὶ μὲν οὖν φλεγμαινόντων νεφρῶν χρώμεθα ἀφεψήματι τήλεως, μαλάχης ἡμέρου τε καὶ ἀγρίας λινοσπέρμου· ἐπὶ δὲ λιθιώντων τούτοις μὲν αὐτοῖς διὰ τὴν φλεγμονὴν καὶ ἀρτεμισίας δὲ ἀφεψήματι καὶ λιβανώτιδος καὶ πετροσελίνου καὶ ναρδοστάχυος. τοῖς δ’ αὐτοῖς χρηστέον καὶ ἐπὶ κύστεως προσβάλλοντες καὶ πήγανον. ἐπὶ ὑστέρας δὲ ἀρτεμισίας ἀφεψήματι ἐλελισφάκου καὶ δάφνης καὶ τῶν ὁμοίων· ἐπὶ δὲ κώλου σίνωνος καὶ πάνακος ἀφεψήματι καὶ δάφνης καὶ τῶν ὁμοίων· ἐπὶ δὲ ἕδρας μελιλώτου κωδύων ῥόδων· ἐπὶ δὲ ῥευμάτων ὑστέρας καὶ αἱμορροΐδων ἐν ἕδρᾳ ἀρνογλώσσου ἀφεψήματι πολυγόνου σιδίων ῥόδων βάτων καὶ τῶν ὁμοίων· ἐπὶ δὲ τραυμάτων σπασμὸν καταγγελλόντων ὑδρέλαιον λιπαρόν. συγχριστέον μὲν οὖν πάντας καὶ ἐμβιβαστέον μέχρι κατωτέρου τοῦ ὀμφαλοῦ. δεῖ δὲ προλελιπάνθαι καὶ τὰ μὴ βρεχόμενα μέρη καὶ μάλιστα τὴν κεφαλὴν καὶ σκέπτεσθαι ὅπως μὴ συμπληροῖτο. Περὶ ἐμβροχῶν.

174 Ἐμβροχὴ διαφέρει καταιονήσεως, ὅτι ἐπίμονον ἔχει τὴν ἐκ τοῦ προσαγομένου βοηθήματος ὠφέλειαν. ἢ γὰρ ἔριον ἢ ῥάκη βρέχοντες, ἐπιτίθεμεν τοῖς πεπονθόσι μορίοις μετὰ τὴν καταιόνησιν· καταπλασμάτων μὲν οὖν ἐλάττονα δύναμιν ἔχει. χρώμεθα δὲ αὐτῇ ἐπὶ κεφαλῆς οὐ πάνυ τι πρὸς καταπλάσματα εὖ διατιθεμένης καὶ ἐπὶ τῶν δι’ ἀσθένειαν οὐ δυναμένων φέρειν τὸ βάρος τῶν καταπλασμάτων καὶ ἐπὶ ὑποχονδρίων φλεγμαινόντων περὶ τὰς ἀρχὰς τῶν νόσων, ἀκαίρου τηνικαῦτα τῆς χρήσεως τῶν καταπλασμάτων καθεστώσης. χρώμεθα δὲ καὶ ἐπὶ καταγμάτων καὶ θλασμάτων ἐν ἀρχῇ, ὅτε τὰ ἐμπλαστικὰ φάρμακα παραλαβεῖν οὐ δυνάμεθα. Περὶ πυριάσεων καταιονήσεων καταπλασμάτων καὶ σικυῶν Γαληνοῦ.

175 Ἀραιοῦν εἰώθασιν αἱ πυρίαι τὸ δέρμα καὶ εὐδιάπνευστον ἐργάζεσθαι καὶ τὸ κατὰ τὰς φλεγμονὰς αἷμα λεπτύνειν τε καὶ διαφορεῖν, ἀπερίττου δηλονότι τοῦ παντὸς σώματος τηνικαῦτα ὑπάρχοντος. εἰ γὰρ περιουσία τις εἴη καθ’ ὅλον τὸ δέρμα, πλέον ἐπὶ τὸ θερμαινόμενον μέρος ἑλκυσθήσεται τοῦ διαφορουμένου. διὸ χρὴ πρὸ τῶν πυριάσεων κενοῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅλον τὸ σῶμα. αἱ μὲν οὖν ὑγραὶ πυρίαι φλεγμοναῖς ἁρμόζουσιν ὑπὸ χολωδεστέρων χυμῶν γεγονυίαις, αἱ δὲ ξηραὶ ταῖς ὑπὸ λεπτοῦ καὶ ὑδατώδους αἵματος, καὶ αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμόζουσι χυμοῖς, αἱ δὲ δακνώδεις καὶ λεπτύνουσαι τοῖς παχέσι καὶ γλίσχροις. θερμαίνειν δὲ ὑποχόνδρια καταπλάσμασιν ἢ αἰονήσεσιν οὐ διαπαντὸς ἀσφαλές, ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων τῶν ἀρρώστων, ἐφ᾽ ὧν οὐδὲν ἁλᾶται περιττὸν ἐν ὅλῳ τῷ σώματι, τοῖς δὲ ἄλλοις ἅπασι κακὸν ἔσχατον. συμβαίνει δὲ ἐν τοῖς πληθωρικοῖς νοσήμασι τοὺς πλουσίους μᾶλλον τῶν πενήτων κακῶς θεραπεύεσθαι. καταρχὰς μὲν γὰρ ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν, καίτοι μᾶλλον τῶν πενήτων ἁλισκόμενοι πληθωρικαῖς διαθέσεσιν, ὡς ἂν καὶ μᾶλλον ἐμπιπλάμενοι καὶ βιοῦντες ἀργότερον. οἱ θεραπεύοντες δὲ αὐτοὺς ἰατροί, διότι παραλέλειπται μέγιστον βοήθημα τῇ διὰ τῶν ἄλλων χρήσει νομίζουσιν ἀναπληρώσειν ὁπόσον ἐνδεῖ· καὶ μέντοι καὶ οἱ κάμνοντες οἰόμενοι τὴν μὲν ἐφ᾽ ἡσυχίας δίαιταν ἀμέλειαν εἶναι, τὸ δ᾽ ὁτιοῦν πράττειν ἐπιμέλειαν, ἀναγκάζουσι τοὺς ἰατροὺς ἑκάστης ἡμέρας προσφέρειν τι τοῖς ὑποχονδρίοις· βουλομένων δὲ δήπου καὶ τῶν ἰατρῶν αὐτὸ δὴ τοῦτο, πρὸς τὸ δοκεῖν ἐνεργεῖν τι διαπαντός, ἐντεῦθεν γὰρ ἐλπίζουσι καὶ τὸν μισθὸν πλείω λήψεσθαι, αὐτοί τε κατασκευάζουσι τὰς φλεγμονάς, ἐξ ὧν πράττουσι διαπαντὸς τοῖς ὑποχονδρίοις λωβώμενοι. συμβαίνει τοιγαροῦν ἐν ἐκείνῳ τῷ χρόνῳ τὰς φλεγμονὰς ἄρχεσθαι τοῖς πλουσίοις, ἐν ᾧ πλησίον ἤδη τῆς λύσεώς ἐστιν ἐπὶ τῶν πενήτων τὸ νόσημα. φλεβοτομηθέντες γὰρ ἐν ἀρχῇ μάλιστα τοῦ συνόχου πυρετοῦ οἵ τε πένητες καὶ οἱ δοῦλοι τῶν πλουσίων, οἱ πλεῖστοι μὲν ἐπὶ τῇ πέμπτῃ τῶν ἡμερῶν ἐκρίθησαν, ἔνιοι δὲ ἐν τῇ ἑβδόμῃ, πορρωτέρω δὲ οὐδεὶς τούτων. ἀλλ᾽ οἵ γε πλούσιοι τὸ μὲν πλῆθος καὶ τὰ περιττώματα πλείω τῶν πενήτων καὶ δούλων ἔχοντες, παραλείποντες δὲ τὸ τῆς φλεβοτομίας βοήθημα, κἄπειτα καθ᾽ ἑκάστην ἡμέραν αἰονούμενοί τε δι᾽ ἐλαίου θερμοῦ καὶ καταπλαττόμενοι τοῖς χαλαστικοῖς καταπλάσμασι, φλεγμονήν τινα συνισταμένην ἴσχουσι ἤτοι περὶ τὸ ἧπαρ ἢ τὴν κοιλίαν ἢ τῶν ἄλλων σπλάγχνων τινά. ἔνιοι μὲν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν, ἔνιοι δὲ ἐν τῇ ε ἢ πάντως γε ἐν τῇ ς . ἐθεάσω δὲ καὶ τὸν ἐν αὐτῷ τῷ καταντλεῖσθαι τῷ χρόνῳ δυσπνοήσαντα, τοῦ περιττοῦ παντὸς ἐπὶ τὰς φρένας ἑλχθέντος ὑπὸ τῆς θερμασίας· οὗτός τε οὖν ἀπέθανε· καὶ ἄλλοι μυρίοι καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκουσι, σικύας δίκην τοῦ καταπλάσματος ἕλκοντος ἐπὶ τὰ σπλάγχνα τὰ καθ᾽ ὅλον τὸ σῶμα περιττά. τινὲς δὲ καὶ αὐτῇ τῇ σικύᾳ κατὰ τῶν ὑποχονδρίων ἐχρήσαντο, τοῦθ᾽ ἓν μόνον ἐννοοῦντες κἀκεῖνοι τὸ φαίνεσθαί τι πράττειν ἀεὶ περὶ τὸν κάμνοντα. καταρχὰς μὲν οὖν ἔτι φερομένων τῶν ῥευμάτων ἐπὶ τὸ πεπονθός, βέλτιόν ἐστιν ἀποκρούεσθαι καὶ ἀναστέλλειν, οὐχ ἕλκειν ἐπ᾽ αὐτά. ἐπιτήδεια δὲ ἐν ἀρχαῖς τὰ στύφοντα σὺν τῷ ἐλαίῳ προσφερόμενα, ἅμα μὲν τόνον ἐντιθέντα τοῖς πάσχουσι μορίοις, ὡς μὴ ῥᾳδίως ὑποδέχεσθαι τὰ ἐπιρρέοντα τῶν περιττωμάτων, ἅμα δὲ καὶ τῶν ἐν αὐτοῖς ἤδη περιεχομένων ἀντεκθλίβοντα τὸ λεπτότερον. [45]

175 (50) εἰ δὲ ἥ τε φορὰ παύσαιτο διὰ τῶν ἀποκρουστικῶν βοηθημάτων, ἥ τ᾽ ἐκ τῆς στύψεως ἐγγεγενημένη πύκνωσις τοῖς πεπονθόσι κατέχῃ τὰ παχύτερα, καιρὸς ἤδη χαλᾶν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα· μάλιστα δὲ ὅταν εἰς ἧπαρ ἢ γαστέρα κατασκήψῃ τὰ περιττὰ τοῖς στύφουσι μετρίως προσήκει κεχρῆσθαι, ἐν ἀρχῇ μάλιστα· κύρια γὰρ ἱκανῶς ταῦτα τὰ μόρια. ἀλλὰ κἀπειδὰν καιρὸς ἤδη γένηται τοῦ διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφεσθαι τὰ μόρια ταῦτα, ὥστε ἀφεψήσαντες ἐν ἐλαίῳ ἀψίνθιον καταιονήσομεν. ἐφ᾽ ὧν δὲ ἰσχυροτέρας στύψεως χρεία, ὀμφάκινον ἔστω τὸ ἔλαιον, ἐν ᾧ ἀφέψεται ἡ ἀψινθία· ἀποροῦντες δὲ ἀψινθίου, μήλινον ἢ μαστίχινον ἢ σχίνινον ἀρκέσει πρῶτα· εἰ δὲ μικρότερος ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου μύρον ἐμβαλλέσθω, εἰ δὲ ἡ παρακμὴ τοῦ πυρετοῦ μὴ πάνυ πραεῖα γίγνοιτο, φυλάττεσθαι χρὴ τὴν νάρδον, χρῆσθαι δὲ τῷ μηλίνῳ ἢ σχινίνῳ. μὴ παρόντων δὲ τούτων ῥόδινον μικτέον τῇ νάρδῳ. ὡσαύτως δὲ καὶ τὰ καταπλάσματα σύνθετον ἐχέτω τὴν δύναμιν ἔκ τε τῆς χαλαστικῆς λεπτομεροῦς καὶ πικρᾶς καὶ στυφούσης. κώλου δὲ πάσχοντος ἢ τῶν ἄλλων

ἐντέρων τῶν λεπτῶν ἢ τῶν καθ’ ὑποχόνδρια μυῶν ἢ περιτοναίου, μικτέον οὐδαμῶς ἐστι τὰ στύφοντα, καθάπερ οὐδὲ κύστεως ἢ μήτρας, ὅταν, ὡς εἴρηται, μήτε ἐπιρρέῃ ἔτι μήτε ᾖ περιττὸν ἐν ὅλῳ τῷ σώματι. νεφροὶ δὲ καὶ θώραξ ἐν τῷ μέσῳ τῶν εἰρημένων εἰσίν· οὔτε γὰρ στύψεως πολλῆς χρεία ἐπὶ τούτων οὔτε μὴν ἐκλύειν συμφέρει· σπληνὸς δὲ φλεγμαίνοντος ἐν ἀρχαῖς τὰ στύφοντα μικτέον, κεκενωμένου δὲ τοῦ σώματος τὰ διαφοροῦντα· καὶ σικυῶν δὲ εἰ χρεία γένοιτο προκενωθέντος ὅλου τοῦ σώματος χρησόμεθα, οὐκ ἐν ἀρχῇ τῶν παθῶν. Ἐκ τῶν Λύκου περὶ καταπλασμάτων.

176 Περὶ τοῦ διὰ ζύμης καταπλάσματος. διαχέαι τὰ ξυνεστῶτα καὶ ἐκτῆξαι ἱκανώτατον τὸ κατάπλασμα τοῦτο καὶ σκόλοπας ἐπισπᾶται καὶ σκίρρους ὠφελεῖ καὶ θλάσματα ἐν πέλμασιν· δεῖ δὲ ζύμην προμαλάσσειν ἐν ἐλαίῳ αὐτάρκει καὶ οὕτως ἐπιτιθέναι· σφοδρότερον δὲ αὐτὸ βουλόμενος ποιεῖν νίτρον πρόσμιγε σύμμετρον. εἰ δὲ καὶ ὄξει διαλύσας τὴν ζύμην καὶ πάλιν ἑψήσας παχύνεις τῇ ἑψήσει, ἐπιτηδειότατον ἔσται πρὸς τοὺς ἐν σπληνὶ καὶ ἥπατι σκίρρους. εἰ δὲ καὶ θύμον καὶ γλήχωνα ἢ ἀψίνθιον ἢ ἀβρότονον μίξεις τῇ ζύμῃ, κάλλιστον ποιήσεις τὸ φάρμακον. Περὶ τοῦ ἐξ ἄρτου καταπλάσματος.

177 Τὸ δὲ ἐξ ἄρτου κατάπλασμα παναρκέστατόν ἐστι πάσαις ταῖς φλεγμοναῖς. αἱ ποιήσεις δὲ αὐτοῦ πολλαὶ πάνυ· καὶ γὰρ ψυχρῷ ὕδατι βραχεὶς καὶ λειωθεὶς καὶ προσλαβὼν ῥοδίνου βραχέος καὶ χυλὸν κορίου, ἐπιτήδειον γίγνεται κατάπλασμα ταῖς ἐρυσιπελατώδεσι φλεγμοναῖς ἢ ἀντὶ τοῦ ὕδατος δι’ ὄξους σκευάζεται καὶ μᾶλλον οὕτως ἁρμόζει τοῖς ἐρυσιπέλασιν. ἀντὶ δὲ τοῦ ἐλαίου βούτυρον προσλαβόν, ἐπιτήδειον γίνεται πρὸς τὰς δυσπέπτους φλεγμονάς. σκευάζεται δὲ καὶ οὕτως· ὕδατι πολλῷ διαλύεται ὁ ἄρτος, ὡς χυλοῦ πάχος ἔχειν, καὶ τούτῳ μίγνυται ἔλαιον ἢ βούτυρον, εἶτα ἕψεται μέχρι συστάσεως. τοῦτο δὲ ἄμεινον πάντων ἐστὶ πρὸς φλεγμονὰς τὰς ἐπὶ τραύμασι καὶ πρὸς τὸ τάχιον ἐκπυῆσαι τούτῳ χρώμεθα. ὅπη δὲ νεῦρον ἢ νευρῶδές τι τεθλασμένον εἴη ἔνδοθεν, ἐγὼ καὶ πίττης ὑγρᾶς μίγνυμι βραχὺ καὶ λυσιτελὲς ἀπέφηνα τὸ κατάπλασμα. τοῦτο δὲ καὶ ταῖς ποδαγρικαῖς φλεγμοναῖς ἐπιτήδειόν ἐστιν. ἄλλη σκευασία· χερσὶ διατρίψαντες τὸ ἔνδοθεν τοῦ χθεσινοῦ ἄρτου καὶ ὅταν, ὥσπερ σεμίδαλις, διασκορπισθῇ, μέλι ἐν τρουλλίῳ θερμάναντες ἐπιπλάσσομεν τὸν οὕτως τεθρυμμένον ἄρτον καὶ ἕψομεν ὡς ἔχειν σύστασιν μετρίαν, εἶτ’ ἐπιβάλλομεν ἔλαιον σύμμετρον καὶ ἑνώσαντες καταπλάττομεν· τοῦτο ἐπιτήδειόν ἐστι ταῖς καθ’ ὑποχόνδριον φλεγμοναῖς. ἄμεινον δὲ τῷ μέλιτι ὀλίγον ὕδωρ μεμίχθαι· οὕτως γὰρ ἐν τῇ ἑψήσει διαχεῖται. καὶ τὸ ἐκ τῶν πυρίνων ἀλεύρων κατάπλασμα σχεδὸν τὰ αὐτὰ δύναται ποιεῖν, τὰς αὐτὰς ἐπιδεχόμενον σκευασίας. Περὶ τοῦ ἐκ πιτύρων καταπλάσματος.

178 Τὰ δὲ πίτυρα ὧδε χρὴ σκευάζειν· ἐν ὅλμῳ κόψαντα καὶ σήσαντα τὰ πίτυρα ὡς λεπτότατα γενέσθαι, χρῆσθαι αὐτοῖς ἐπὶ σκίρρων ἐν παντὶ τόπῳ τοῦ σώματος συνισταμένων καὶ μάλιστα ἐν ἥπατι ἢ σπληνί. σκευάζειν δὲ αὐτὰ προσήκει ὀξυμέλιτι ἢ καὶ ἀμμωνιακὸν θυμίαμα λειώσαντες σὺν τῷ ὀξυμέλιτι προσπλέξομεν τὰ πίτυρα καὶ ἐπιπλάττοντες, πυριατῆρα ἐπιθήσομεν μεστὸν ὕδατος θερμοῦ, ὡς μὴ ψυγῆναι τὸ κατάπλασμα. ποτὲ δὲ καὶ ἐπὶ τῶν φλεγμαινόντων διδύμων ὠφελιμώτατον τοῦτο τὸ κατάπλασμα· χωρὶς ὄξους δὲ σκευαζέσθω ἐπὶ τούτων, μελικράτῳ δὲ δηλονότι· ἁρμόζει δὲ τὸ κατάπλασμα τοῦτο καὶ δοθιῆσι καὶ τοῖς ἄλλοις σκληροῖς φύμασιν. ἐπὶ δὲ τῶν ἰοβόλων ὄξει μᾶλλον δευόμενα τὰ πίτυρα ἁρμοδιώτατον ποιεῖ κατάπλασμα. Περὶ τοῦ διὰ σύκων καταπλάσματος.

179 Σῦκα λιπαρὰ κόπτοντες ἀκριβέστατα, ὡς μηδὲν ἀναλλοίωτον ἐν αὐτοῖς φαίνεσθαι, ἔπειτα μίξαντες ἴρινον μύρον βραχὺ καταπλάττομεν. ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν νεύρων καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων καὶ τὰ πλέον τοῦ μέτρου κεχαλασμένα καὶ πρὸς σκίρρους, μάλιστα τοῦ σπληνὸς καὶ τοῦ ἥπατος. προσλαβὸν δὲ τὸ εἰρημένον κατάπλασμα νίτρον ὀλίγον ῥήσσει ἀποστήματα καὶ σκόλοπας ἀνάγει· εἰ δὲ μίξαις τοῖς σύκοις οὕτω πεποιημένοις γλήχωνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ ὀριγάνου ἢ θύμου ἢ ἀψινθίου κόμης λεπτότατα σήσας, ὑδρωπικοῖς ἁρμόζει. καὶ ἑψηθέντων δὲ τῶν σύκων ἱκανῶς, ἔπειτα λειωθέντων σὺν τῷ ἀφεψήματι καὶ μιγνυμένου κριθίνου ἀλεύρου ἢ πυρίνου καὶ πάλιν ἑψομένων ἄχρι συστάσεως, ἁρμόζει ἀποστήμασι τοῖς μὴ ῥᾳδίως πεπαινομένοις. εἰ δὲ βούλει λίπος προσβάλλειν ἢ βούτυρον μιγνύναι ἢ πηγάνου φύλλα λεῖα, τὰς ἐν τοῖς ἐντέροις ὑπὸ πνεύματος γιγνομένας ὀδύνας ὀνίνησι. μιγνύσθω δὲ ὁμοίως καὶ κύμινον καὶ ἔλαιον. Περὶ δρωπάκων καὶ πιττώσεως Ἀρχιγένους. [10]

180 Ὁ δρώπαξ καὶ πίττωσις ὑπό τινων καλεῖται· τοῖς χρονίοις δὲ μάλιστα νοσήμασιν ἁρμόζει ὡς ἐπίπαν καὶ πρὸ τοῦ σιναπισμοῦ δὲ παραλαμβάνεται εἰς τὸ παρασκευάσαι τὸ σῶμα τῷ νάπυι, καὶ μετὰ τὸν σιναπισμὸν δὲ πρὸς τὸ ἐκκόψαι τὸ λείψανον τῆς διαθέσεως. ὁ μὲν οὖν ἁπλούστερος δρώπαξ ἐστὶν ἡ πίττωσις λεγομένη. πίττα δὲ ξηρὰ τήκεται μετὰ ἐλαίου πάνυ βραχυτάτου, ἔπειτα ἔτι θερμὴ ἐπιχρίεται δέρματι καὶ προξυρηθέντων τῶν τόπων προσκολλᾶται καὶ πρὶν τελέως ψυγῆναι ἀποσπᾶται· καὶ πάλιν θερμανθέντος τοῦ ἐμπλάσματος παρὰ πυρὶ προσκολλᾶται καὶ ὁμοίως πρὶν ψυγῆναι ἀποσπᾶται· καὶ τοῦτο γίνεται πλεονάκις. ὠφελιμώτατος δέ ἐστι τοῖς συνεχῶς ἐμοῦσι καὶ τοῖς ἀπεπτοῦσι καὶ κοιλιακαῖς διαθέσεσι καὶ τοῖς λοιποῖς μορίοις τοῖς ἀτροφοῦσιν. εἰς δὲ τὸν ἄλλως σκευαζόμενον δρώπακα ὑπὲρ μὲν τοῦ θερμᾶναι ἐμβάλλεται πέπερι πύρεθρον κάχρυ ἄσφαλτον· εἰ δὲ ξηρᾶναι δέοι θεῖον ἄπυρον ἅλας τέφρα κληματίδων· εἰ δὲ ἀμύξαι λιμνῆστις ἐμβάλλεται ἡ καλουμένη ἀδάρκη ἢ εὐφόρβιον· ἕκαστον δὲ τούτων λεῖον γενόμενον ἐμπάσσεται τοῖς τηκτοῖς. ἐστὶ δὲ ὁ συνήθως ὑπὸ πλείστων σκευαζόμενος δρώπαξ ὁ γάλλος λεγόμενος· κολοφωνίας τῆς λιβανιζούσης καὶ πιτυίνης καὶ τῆς ῥυπαρᾶς ξυλώδους ῥητίνης τῆς ἐν τοῖς κεραμίοις κομιζομένης, ἀποχύματος πίσσης ξηρᾶς ἀνὰ λι τρʹ α c πίσσης ὑγρᾶς Βρυττίας λι τρʹ β κηροῦ λι τρʹ δ νίτρου λι τρʹ α ἀσφάλτου χαλβάνης ἀδάρκης πυρέθρου ἐλλεβόρου λευκοῦ πεπέρεως ἀνὰ 𐅻 δ θείου ἀπύρου 𐅻 γ καστορίου ἀμμωνιακοῦ θυμιάματος σταφίδος ἀγρίας ἀνὰ 𐅻 β ἐλαίου Σικυωνίου λι τρʹ α ὀποβαλσάμου 𐅻 ς . Ἄλλος δρώπαξ κάλλιστος δόκιμος. Πίσσης κηροῦ κολοφωνίας ἀνὰ λι τρʹ α νίτρου 𐅻 ς ἀσφάλτου 𐅻 γ θείου ἀπύρου 𐅻 α c πεπέρεως εὐφορβίου ἀδάρκης ἀνὰ 𐅻 α κανθαρίδων < δ κυπρίνου ἐλαίου < δ χρῶ. δεῖ δέ, ὡς προείρηται, τὸν δρώπακα θερμὸν καταχρίειν καὶ πάχος ἔχοντα κατὰ λόγον τῆς τοῦ κάμνοντος δυνάμεως, προεξυρισμένων τῶν ἐν τοῖς χριομένοις τόποις τριχῶν. τοὺς δὲ εὐτόνως δρωπακιζομένους καὶ λούειν προσήκει, ἐπικειμένου τοῦ δρώπακος καὶ γυμνάζειν, εἰ οἷόν τε. ἀθρόως δὲ ἀποσπώμενος ὁ δρώπαξ δύναται τονῶσαι τὸ ἐνδεδωκὸς πνεῦμα καὶ ἀνακαλέσασθαι πρὸς τὴν ἐπιφάνειαν καὶ ὑπομνῆσαι τῶν ἰδίων ἔργων. Περὶ σιναπισμοῦ Ἀρχιγένους. [30]

181 Τὸ ἀπὸ νάπυος κατάπλασμα σιναπισμὸν καλεῖν πάντες εἰώθασι· δραστικώτατον δέ ἐστι τὸ βοήθημα, ἀλλ' ἐπὶ μὲν τῶν ὀξέων οὐ πάνυ τι εὐδοκιμεῖ, πλὴν ἐπ' ὀλίγων. ἐπὶ γὰρ μόνων τῶν ἀγροτέρων καὶ νωθροτέρων καὶ βαπτιζομένων ἐν τοῖς ὀξέσι πάθεσι χρώμεθα τῷ νάπυι, ἐπὶ δὲ τῶν χρονίων σχεδόν τι πάντων μετὰ τὸ μηδὲν ὠφελῆσαι τὰ λοιπὰ βοηθήματα ὁ σιναπισμὸς ἀνυσιμώτατος εὑρίσκεται. ἐπεὶ οὖν ἐπὶ πάντων σχεδὸν ἥρμοσται τῶν χρονίων βέλτιόν ἐστι λέγειν ἐφ' ὧν οὐ χρηστέον αὐτῷ· ἐπὶ μὲν οὖν ἑλκώσεως πνεύμονος οὐ παραλαμβάνεται σιναπισμός, οὐδ' ἐπ' ἄλλης ἐν τῷ βάθει ἑλκώσεως· ἀγριαίνεται γὰρ τὰ ἕλκη καὶ παροξύνεται διὰ τὴν δριμύτητα· οὐ μὴν οὐδ' ἐπὶ τῶν ἐν τῇ ἐπιφανείᾳ ἡλκωμένων, οὐδὲ ἐπὶ τῶν χονδρωδῶν μορίων, οἷον ὤτων ἢ ῥινὸς ἄκρων. κατακαίεται γὰρ ὑπ' αὐτοῦ καὶ μελαίνεται τὰ λίαν ἄσαρκα. τὰ δ' ἄλλα πάντα μέρη τοῦ σώματος καὶ πάθη χαίρει τῷ βοηθήματι, ἐξαιρέτως δὲ κεφαλὴ ἐν ταῖς χρονίαις κεφαλαλγίαις καὶ ἑτεροκρανίαις καὶ σκοτώμασιν ἐπιληψίαις τε καὶ μανίαις· καὶ θώρακι δὲ ἐπιτήδειος ἐπὶ ὀρθοπνοίαις ἄσθμασι βηχὶ χρονίᾳ. ἐν κατάρρῳ δὲ καὶ τὴν κεφαλὴν σὺν τῷ θώρακι σιναπιστέον καὶ στόμαχον δὲ καὶ ἔντερα ἐπὶ πάσαις ταῖς χρονίαις διαθέσεσι καὶ μάλιστα ἀνορεξίαις, ἐπί τε νεφριτικῶν διαθέσεων καὶ περὶ τὰς ψόας καὶ ὀσφύι καυλοῦ τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύστεως παρέσεσι. καὶ πάντα δὲ τὰ παρειμένα μέρη χαίρει τῷ βοηθήματι. κατάλληλον δὲ καὶ ἀρθριτικοῖς καὶ ποδαγρικοῖς. ἐντίθεται δὲ καὶ εἰς τὸ ἀπευθυσμένον ἐν παρέσει βάλανος ἐκ τοῦ νάπυος καὶ μετὰ τὴν δῆξιν αἱρομένης τῆς βαλάνου κλύζεται μελικράτῳ. ὁ δὲ τῆς σκευασίας τρόπος ἐστὶ τοιοῦτος. ἰσχάδας λιπαρὰς δεῖ ἐν ὕδατι χλιαρῷ πρὸ μιᾶς ἡμέρας ἀποβρέξαι, τῇ δ’ ἑξῆς θλίψαντα ἰσχυρῶς λεαίνειν εὖ μάλα, εἶτα νᾶπυ δριμὺ λαβόντα τρίβειν, κατ’ ἰδίαν παραχέοντα ἐν τῇ τρίψει κατὰ βραχὺ τοῦ ἀποβρέγματος τῶν ἰσχάδων, ὥστε εὐλείωτον γενέσθαι, μὴ μέντοι ὑδαρές· εἶτα μάζας ποιήσας ἑκάστου ἰδίᾳ μίσγε πρὸς ἀλλήλας, ὡς ἡ χρεία ἀπαιτεῖ. εἰ μὲν συντόνως βούλει σιναπίζειν, δύο μέρη τοῦ νάπυος πρὸς ἓν τῶν ἰσχάδων, εἰ δὲ μέσως, ἴσον ἑκατέρου, εἰ δὲ πραοτέρως, τρίτον μὲν μέρος τοῦ νάπυος, δίμοιρον δὲ τῶν ἰσχάδων. ἐπὶ δὲ τῶν εὐαισθήτων σωμάτων καὶ ἐφ’ ὧν περὶ τὴν ἐπιφάνειάν ἐστι τὸ πάθος, ἄρτον ἀντὶ τῶν ἰσχάδων δεῖ συμπλέκειν τῷ σινήπυι. γνωστέον δὲ καὶ τοῦτο ὅτι ὄξει βρεχόμενον τὸ σίνηπι ἀτονώτερον γίνεται· διαφορεῖ γὰρ τὸ ὄξος τὴν δύναμιν τοῦ σινάπεως. λεπτὸν δὲ γενόμενον τὸ κατάπλασμα ἐπὶ πάντων τῶν προειρημένων ἐμπλασσέσθω εἰς ὀθόνιον καὶ ἐπιρριπτέσθω τοῖς τόποις. ὡρῶν δὲ μῆκος ἐπὶ πάντων ὁρίσαι οὐ δυνατόν. διὸ δεῖ συνεχέστερον ἀναστέλλειν τὸ κατάπλασμα καὶ κατανοεῖν τὴν σάρκα εἰ αὐτάρκως πεφοίνικται. μάλιστα δὲ τοῦτο χρὴ ποιεῖν ἐπὶ τῶν ἀναισθητούντων μερῶν. ἐφ’ ὧν δὲ βουλόμεθα αὐτὸ ταχέως ἐνεργῆσαι, σπόγγοις ἀποτεθλιμμένοις ἐξ ὕδατος θερμοῦ πυριατέον τὸν τόπον ἐπικειμένου τοῦ καταπλάσματος, τουτέστι κατὰ τοῦ ῥάκους ἐπιθετέον τοὺς σπόγγους· μετὰ δὲ τὴν αὐτάρκη χρῆσιν εἰς βαλανεῖον ἀκτέον καὶ ἐμβιβαστέον τῷ θερμῷ καὶ ἐκ δευτέρου καὶ καταντλητέον τὸ μέρος ἀνήλειπτον· μετὰ δὲ τὸ λουτρὸν ῥοδίνῳ χρίομεν τὸν τόπον. ἐπὶ δὲ τῶν σφόδρα περιωδυνώντων ἢ καὶ ἑλκωθέντων πτύγματι ἐξ ὑδροροδίνου σκεπαστέον καὶ καταπλαστέον μαλάχῃ ἑφθῇ λείᾳ σὺν ἄρτῳ. μετὰ δὲ τὸ λῆξαι τὸ ἄλγημα κηρωτῇ ῥοδίνῃ μετὰ ψιμμυθίου χρηστέον· ἐφ’ ὧν δὲ οὐχ οἷόν τε ἐστὶ λουτρῷ χρήσασθαι, ἐπὶ μὲν τοῦ λοιποῦ σώματος σπόγγοις ἐξ ὕδατος θερμοῦ πυριατέον, ἐπὶ δὲ τῶν περὶ κεφαλὴν καὶ μάλιστα τῶν ψυχρῶν διαθέσεων ἐλαίου θερμοῦ καταχύσει παρηγορητέον.

182 Ὅτι οἱ τῶν αἰγῶν σπύραθοι μετ’ ὄξους καταπλαττόμενοι ἰδίως ἰσχιαδικοῖς ἁρμόζουσιν. Αἰγῶν δὲ σπύραθοι λεανθέντες ἐν ὄξει τὴν τοῦ σιναπισμοῦ χρείαν παρέχουσιν· ἰδίως δὲ ἰσχιαδικοῖς ἁρμόζει τοῦτο τὸ κατάπλασμα, πολὺ ἀνυσιμώτερον σιναπισμοῦ πεπειραμένον ἐπ’ αὐτῶν. Τίνα ἕτερά ἐστι φοινίσσοντα.

183 Φοινίσσει καρδαμώμου σπέρμα καὶ θερμαίνει καθάπερ τὸ νᾶπυ, ἑλενίου ἡ ῥίζα ὁμοίως, ἡ τῶν ἀγρίων περιστερῶν κόπρος, ᾗ πάνυ συνεχῶς χρῶμαι καὶ μετὰ καρδαμώμου δὲ σπέρματος κεκομμένου καὶ σεσησμένου ἀντὶ νάπυος αὐτῇ χρῶμαι ἐπὶ ἰσχιάδος καὶ ἡμικραίρας καὶ σκοτωμάτων καὶ κεφαλαίας χρονίας καὶ ἐπὶ ἀλγημάτων χρονίων πλευρῶν ἢ ὤμων ἢ τενόντων ἢ ψοῶν καὶ πρὸς τούτοις ἐπὶ νεφριτικῶν καὶ κωλικῶν διαθέσεων καὶ ἀρθριτικῶν καὶ ποδαγρικῶν, ὅταν μηδέπω σύστασις ᾖ πόρων. καὶ σκίλλα δὲ κοπεῖσα ἐν ὅλμῳ δύναμιν ἔχει παραπλησίαν νάπυι καταπλασσομένη· πρὸς ὀλίγον δὲ καιρὸν ἐπιτιθέσθω· βραδύνουσα γὰρ ἑλκοῖ τὸν τόπον. χρηστέον δὲ αὐτῇ ἰδίως ἐπί τε ὀρθοπνοικῶν κατὰ τοῦ θώρακος, ἐπί τε παρέσεως, ἡνίκα μὴ μόνον ἡ κίνησις, ἀλλὰ καὶ ἡ ἁπτικὴ αἴσθησις ἐκλέλοιπε. παρηγορητέον δὲ μετὰ ταῦτα τὰ μέρη, ὥσπερ ἐπὶ τοῦ σιναπισμοῦ προείρηται· ἰδίως δὲ τὰς ἀπὸ τῆς σκίλλης δήξεις παρηγορεῖ κατάχυσις ἐλαίου καὶ μάλιστα ῥοδίνου. Περὶ τῆς ἰβηρίδος ἤτοι καρδαμυντίνης.

184 Τῶν δὲ σφόδρα ἐπωφελῶς φοινισσόντων ἐστὶ καὶ ἡ ἰβηρὶς ἡ καὶ καρδαμυντίνη καλουμένη, περὶ ἧς ὁ Γαληνὸς ἐν τῷ περὶ ἰσχιάδος λόγῳ πλεῖστα γέγραφε καὶ Ἀρχιγένης δὲ αὐτῇ ἐχρήσατο ἐπὶ σπληνικῶν καὶ ἰσχιαδικῶν. φησὶ δὲ ἐν τῇ πρὸς Ἀρίστωνα ἐπιστολῇ περὶ αὐτῆς οὕτως Ἀρχιγένης· “ἐβουλόμην δέ σε χρήσασθαι καὶ τῇ ῥίζῃ τῆς ἐνθάδε νῦν ἰβηρίδος καλουμένης. ἔχει δὲ φύλλα οἷον καρδάμου, ἔαρος εὐθαλέστερα, μῆκος δὲ ὅσον πήχεως ἐλάττων καὶ φύεται μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν ἀγεωργήτοις τόποις. θέρει δὲ γαλακτικὸν ἄνθος προβάλλει καὶ τότ’ ἐστι δραστικωτάτη. ῥίζαι δὲ ὀδώδασιν οἷον καρδάμου. τὰς ῥίζας οὖν λαβὼν τῷ εἰρημένῳ καιρῷ καὶ κόψας ἐπιμελῶς, εἰσὶ γὰρ δυσλέαντοι, καὶ λίπους ὑείου τεταριχευμένου ἐπιβαλὼν εἰς ὅσον ἐμπλαστῶδες γενέσθαι, καταπλάσθητι μὴ ἔλασσον ὡρῶνδ · ἔπειτ’ εἰς θερμὸν βαλανεῖον εἰσελθὼν ἀνήλιφος μετ’ ὀλίγην περινότισιν τοῦ σώματος, ἐμβάσει δηκτικωτέρᾳ ἐνδιάτριβε· ἐξελθὼν δὲ οἰνελαίῳ λιπαρῷ περιαντληθεὶς καὶ περιμαξάμενος, σκέπε τὸ ἰσχίον ἐρίοις καθαροῖς. σιναπισμοῦ μὲν ὁ τρόπος, τὰς δὲ τῆς ὠφελείας ἐλπίδας μείζονας ἔχει διὰ τὸ φαρμακωδέστερον καὶ μεθ’ ἥσσονος ἐπιτελεῖσθαι δήξεως. Περὶ τῶν μετασυγκριτικῶν βοηθημάτων Γαληνοῦ.

185 Πάντων τῶν ἐπὶ πλεῖστον χρονιζόντων παθῶν, ὅταν μηδὲν ἀνύῃ τὰ βοηθήματα, τὴν μετασυγκριτικὴν ὑπὸ τῶν μεθοδικῶν ὀνομαζομένην θεραπείαν ἅπαντες εἰώθασι ποιεῖσθαι. ἐγὼ δὲ ἐφ’ ὧν ἤτοι δυσκρασία τις ὑγρὰ καὶ ψυχρὰ τοῖς πάσχουσι μορίοις ἐστίν, ἤτοι δυσαισθησία ἢ ἀναισθησία, προσφέρω τὰ διὰ νάπυος ἢ θαψίας καὶ τῶν ὁμοίων αὐτοῖς φάρμακα, ταῖς ξηραῖς δὲ καὶ θερμαῖς διαθέσεσιν οὐ προσφέρω τὰ τοιαῦτα.